www.tezaurliturgic.ro

# ΒΙΒΛΟΣ ΙΕΡΑ, Η ΚΑΛΟΥΜΕΝΗ

# ΠΝΕΥΜΑΤΙΚΟΣ ΚΗΠΟΣ.

ΠΕΡΙΕΧΩΝ

Τριάκοντα καὶ ἓξ, εἰς διαφόρους Ἁγίους Ἱεροὺς

## ΠΑΡΑΚΛΗΤΙΚΟΥΣ ΚΑΝΟΝΑΣ.

ΑΝΑΠΛΗΡΩΣΕΙΣ ΑΚΟΛΟΥΘΙΩΝ

Εἰς διαφόρους Ἁγίους, ὧν αἱ σωζόμεναι Ἀκολουθίαι εἰσὶν ἀτελεῖς.

ΝΕΑΣ ΙΕΡΑΣ ΑΚΟΛΟΥΘΙΑΣ ΕΙΣ ΤΙΝΑΣ ΑΓΙΟΥΣ.

## ΜΕΓΑΛΥΝΑΡΙΑ

Εἰς διαφόρους Ἁγίους, Τροπάρια, διορθώσεις Τροπαρίων καὶ Κοντάκια,

Ὧν τὰ μὲν συνεγράφησαν, τὰ δὲ διωρθώθησαν χάριν εὐλαβείας, καὶ πρὸς ὠφέλειαν καὶ οἰκοδομὴν τῶν Πιστῶν

ΥΠΟ

ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ

**ΣΕΡΑΦΕΙΜ ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ.**

Διήρηται δὲ ἡ Βίβλος εἰς Μέρη ἢ Τόμους δύω, ἐκδοθεῖσα δαπάνῃ τοῦ Συντάκτου.

**ΤΟΜΟΣ ΠΡΩΤΟΣ.**

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Ε. ΚΑΓΙΟΛ.

1863.

www.tezaurliturgic.ro

Πᾶν ἀντίτυπον μὴ φέρον τὴν ἰδιόχειρον ὑπογραφήν μου, θεωρεῖται ὡς ἐκ τυποκλοπίας προερχόμενον, καὶ καταδιώκεται κατὰ τοὺς νόμους.

τοῦ Ἀγίου [signature]

Τεκμήριον ἀγάπης καὶ ἀδελφικῆς φιλίας εἰς τὸν ἐν Χριστῷ ἀσπασμὸν [illegible] ἀδελφὸν καθηγούμενον Γεδεὼν Ἱερομόναχον Μαυρομάτου [illegible]. Ἀρχιμ. Παΐσιος Μαυρ[illegible]

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ... ΝΤΟΡΗ ΠΑΠΑΣΤ...



## Τοῖς Ὁσιωτάτοις Ἱερεῦσι καὶ λοιποῖς Ὀρθοδόξοις.

Ἡ παντελὴς ἔλλειψις, κατὰ τόπους, παρακλητικῶν εἰς διαφόρους Ἁγίους Κανόνων, καὶ ἡ ἀνάγκη ἀναπληρώσεως ἐλλειπόντων Τροπαρίων εἰς Ἀκολουθίας ἑορταζομένων τινῶν Ἁγίων, παροραθέντων ἴσως παρὰ τῶν ἀειμνήστων ἐκείνων Ἱερῶν Ὑμνογράφων, καὶ τὸ ἀναρμόδιον τοῦ ψάλλειν τοὺς Πιστούς, ἐπικαλουμένους τὴν βοήθειαν καὶ προστασίαν Ἁγίου τινός, ἄλλ' ἀντ' ἄλλων μέλη, προερχομένης πάντως τῆς ἀταξίας ταύτης, ὡς ἐκ τῆς ἐλλείψεως τῶν τοιούτων· ταῦτα πάντα καὶ ἡ φιλάθλων καὶ φιλακολούθων τινῶν εὐσεβῶν Κληρικῶν τε καὶ Λαϊκῶν ἐπίμονος ἀπαίτησις, παρεκίνησάν με, ὅπως, κατὰ τὸ ἐνόν μοι, ἀναλάβω τὴν σύνταξιν καὶ ἔκδοσιν τοῦ ΠΝΕΥΜΑΤΙΚΟΥ μου τούτου ΚΗΠΟΥ, ἐμπεριέχοντος ἀληθῶς ἄνθη ὑμνῳδιῶν ποικίλα τε καὶ εὐώδη, ὧν ἐκ τῆς μυστικῆς εὐωδίας εὐφραίνονται καὶ ἀγάλλονται αἱ τῶν εὐσεβῶν ψυχαί, ὁδηγούμεναι εἰς εὐσέβειαν, καλλονὴν τῶν ἠθῶν καὶ σωτηρίαν. Ἀλλ' οἶδα καλῶς ὅτι, πολλοὶ τῶν παιδείᾳ κεκοσμημένων, καὶ μάλιστα τῶν ἐξησκημένων εἰς τὸ εἶδος τῆς ὑμνογραφίας, ἐπικρίνειν μέλλουσι τὸ παρόν μου σμικρὸν φιλοπόνημα, καὶ ἴσως εὑρήσουσι καὶ ἐλλείψεις τινάς, καὶ πιθανόν, κατηγορήσουσί μου, ὡς τολμήσαντος ἀναλαβεῖν ἀνερρυθριάστως χαρακτῆρα συντάκτου ὑμνογραφιῶν. Παρακαλῶ ὅμως ταπεινῶς, ἵνα μέτριοι γένωνται καὶ ἐπιεικεῖς εἰς τὰς κρίσεις αὐτῶν καὶ ἐπικρίσεις, καὶ μὴ φρονήσωσί ποτε, ὅτι πρὸς ἐπίδειξιν τὸ δυσχερὲς τοῦτο καὶ ἐπίπονον ἀνεδέχθην ἔργον, ἄπαγε! οὔτε γὰρ τοιαύτης οἰήσεως ἰδέα ποτὲ κατέσχε με, οὔτε τὴν ἀπαιτουμένην πρὸς τὸ τοιαῦτα συντάττειν ἱκανότητα κέκτημαι. Καθότι καὶ ἐλάχιστος πάντων εἰμί, καὶ χρείαν διδασκαλίας ἔχω καὶ ὑπαγορεύσεως ἀνωτέρων μου. Ἀλλ' ἐτόλμησα τὸ στάδιον

www.tezaurliturgic.ro



τοῦτο διαδραμεῖν, ἕνεκα τῆς ἐπιμόνου, ὡς προεῖπον, παρακινήσεως φιλακολούθων τινῶν εὐσεβῶν, καὶ διὰ τὸ ἄπειρον σέβας, ὅπερ ἔχω πρὸς τοὺς εὐαρεστήσαντας τῷ Κυρίῳ Ἁγίους, προσέτι δὲ καὶ διὰ τὸν πολὺν ζῆλον καὶ τὴν ἄκραν φροντίδα μου ὑπὲρ τῆς Ἐκκλησιαστικῆς ἐν ταῖς Ἱεραῖς Ἀκολουθίαις εὐταξίας.

Συγγνώτωσάν μοι τοίνυν αἱ εὐμενεῖς ψυχαὶ τῶν ἀναγνωστῶν καὶ ἐπικριτῶν τοῦ παρόντος Πονήματος, διὰ τὸ τολμηρὸν τῆς προθέσεως, καὶ συγκαταβατικαὶ καὶ ἐπιεικεῖς ἐν ἅπασι γενόμεναι, εὐαρεστηθήτωσαν ἀποδεχθῆναι εὐμενῶς τὸ παρὸν Πονημάτιον, μηδόλως εἰς τὰς ἐλλείψεις αὐτοῦ ἐνορῶσαι, ἀλλ' εἰς τὸ πρόθυμον τῆς ψυχῆς μου, καὶ εἰς ἣν κέκτημαι ἔφεσιν, ἵνα κἀγὼ ὁ μικρότερος ἐν τῷ οἴκῳ τοῦ Πατρός μου ἀναδειχθῶ, ὅσον ἔνεστί μοι, ἐπωφελὴς πρὸς τοὺς ὁμογενεῖς μου, ἐξαιρέτως δὲ πρὸς τὸν Ἱερὸν Κλῆρον, εἰς ὃν ἐξ ἁπαλῶν ὀνύχων εἰμὶ κατατεταγμένος. Εἴθε δὲ, (ἐκ μέσης ψυχῆς εὔχομαι), ἀναφανείη ἕτερός τις κρείττων ἐμοῦ καὶ πράξει καὶ θεωρίᾳ, πρὸς σύνταξίν τε καὶ ἔκδοσιν ἑτέρων τινῶν γλαφυροτέρων, εὐφραδεστέρων καὶ τεχνικωτέρων μελῶν, συντεινόντων τῇ Ἐκκλησιαστικῇ τάξει, ἵνα οὕτως ὠφελήσῃ ἀρκούντως τοὺς στερουμένους τοιαύτης ἕξεως.

Ἔρρωσθε δὲ οἱ ἀναγινώσκοντες καὶ ψάλλοντες ἐν Κυρίῳ, κατὰ τὸν διπλοῦν ἄνθρωπον, ὑπερευχόμενοι καὶ ὑπὲρ τοῦ συντάξαντος καὶ ἐκδόντος, ἐν ταῖς πρὸς Κύριον ὑμῶν εὐχαῖς.

Ἐν Ταταούλοις τῇ 30 Σεπτεμβρίου 1863.

Ταπεινοῦ Ἐπισκόπου
† Ἀργυρουπόλεως Σεραφείμ.



# ΠΙΝΑΞ
## ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ ΕΝ ΤΩΔΕ ΤΩ ΠΡΩΤΩ ΤΟΜΩ.


| | | | | |
|---|---|---|---|---|
| ΚΑΝΩΝ | ΠΑΡΑΚΛ. | Εἰς τὸν Ἰησοῦν Χριστόν. | Σελίς | 1 |
| » | » | » Ἰωακεὶμ καὶ Ἄνναν. | » | 7 |
| » | » | » Ματρῶναν τὴν Χιοπολίτιδα. | » | 12 |
| » | » | » Ἰάκωβον τὸν Ἀδελφόθεον. | » | 18 |
| » | » | » Δημήτριον τὸν Μυροβλύτην. | » | 23 |
| » | » | » Κοσμᾶν καὶ Δαμιανόν. | » | 30 |
| » | » | » Ἀρχαγγέλ. Μιχ. καὶ Γαβρ. | » | 36 |
| » | » | » Μεγαλομάρτυρα Μηνᾶν. | » | 42 |
| » | » | » Σεραφεὶμ Ἰωάν. καὶ Βαρβ. | » | 48 |
| » | » | » Τὸν Ἱεράρχην Νικόλαον. | » | 54 |
| » | » | » » Ἱεράρχην Σπυρίδωνα. | » | 60 |
| » | » | » » Ἱερομάρτ. Ἐλευθέριον. | » | 66 |
| » | » | » » Πρωτομάρτ. Στέφανον. | » | 72 |
| » | » | » » Πρόδρομον Ἰωάννην. | » | 78 |
| » | » | » » Σερβ. Ἐπίσκοπ. Σάββαν. | » | 84 |
| » | » | » » Μέγαν Ἀντώνιον. | » | 90 |
| » | » | » » Μέγαν Ἀθανάσιον. | » | 96 |
| » | » | » » Μάρτυρα Τρύφωνα. | » | 104 |
| » | » | » » Θεοδόχον Συμεών· | » | 109 |
| » | » | » » Ἱερομάρ. Χαράλαμπον. | » | 115 |
| » | » | » » Τύρωνα Θεόδωρον. | » | 121 |
| » | « | » » Τίμιον Σταυρόν. | » | 127 |
| » | » | » » Τροπαιοφ. Γεώργιον. | » | 133 |
| » | » | » Τὴν Νεομάρτυρα Ἀργυρῆν. | » | 139 |
| » | » | » » Παρθενομάρτ. Εἰρήνην. | » | 144 |
| » | » | » Τὸν Ἱερομάρτ. Θεράποντα. | » | 150 |


ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro




| | | | | | |
|---|---|---|---|---|---|
| ΚΑΝΩΝ ΠΑΡΑΚΛ. | | Εἰς | Κωνσταντῖνον καὶ Ἑλένην. | Σελ. | 156 |
| » | » | » | Τοὺς ΙΒ΄ Ἀποστόλους. | » | 162 |
| » | » | » | Τὴν Μεγαλομάρ. Κυριακήν. | » | 169 |
| » | » | » | » Πανεύφημον Εὐφημίαν. | » | 174 |
| » | » | » | » Ἀθληφόρον Μαρίναν. | » | 180 |
| » | » | » | Τὸν Θεσβίτην Ἠλίαν. | » | 185 |
| » | » | » | » Ἱερομάρτ. Φωκᾶν. | » | 192 |
| » | » | » | Τὴν Ὁσιομάρ. Παρασκευήν. | » | 198 |
| » | » | » | Τὸν Ἰαματικὸν Παντελεήμονα. | » | 203 |
| » | » | » | Τοὺς Δώδεκα Ἀναργύρους. | » | 209 |
| ΜΕΓΑΛΥΝΑΡΙΑ | | εἰς | διαφόρους Ἁγίους. | » | 214 |


ΤΕΛΟΣ ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΠΝΕΥΜΑΤΙΚΟΥ ΚΗΠΟΥ

## ΤΟΜΟΣ Α΄.

www.tezaurliturgic.ro



« Πάντα ὅσα ἂν αἰτήσητε ἐν τῇ προσευχῇ, πιστεύοντες λήψεσθε. » ΜΑΤΘΑΙΟΣ. ΚΑ'. 22.

« Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει καὶ ἐν ψαλμοῖς. » ΔΑΒΙΔ. ΨΑΛΜ. ΥΙΔ'. 2

« Μὴ αἰσχυνθῇς ὁμολογῆσαι τὰς ἁμαρτίας σου, ἐνώπιον Θεοῦ, καὶ ἐν ἀνθρώπῳ Θεοῦ. » ΣΕΙΡΑΧ.

---

Τῷ Μουσῶν ἡγέτῃ καὶ κλεινῷ Ἱεράρχῃ Ἁγίῳ Ἀργυρουπόλεως Κυρίῳ Κυρίῳ ΣΕΡΑΦΕΙΜ,
Δεῖγμα σεβασμοῦ καὶ φιλίας ἀλήκτου ἀνατίθησιν
ΟΘΕΟΔΩΡΟΣ ΑΡΙΣΤΟΚΛΗΣ
τουτὶ τὸ Ἰάμβειον.

Ζῆθι, κλεεινὲ Ἀρχιθύτα πατρίδος
Τεῆς, Ταταύλων καλλιτέκνοιο χθονός·
Σεμνὸν Σεραφεὶμ ἀγλάϊσμ' Ἐκκλησίης.
Μολπῇσι γὰρ θ' ὕμνοισι σοῖς μελιῤῥύτοις,
Θεὸν, Μέδονθ' ἱλασκόμεσθ' ὁσημέραι,
Τῶν ἀμπλακημάτων τε ἴσχομεν λύσιν.

ΗΡΩΕΛΕΓΕΙΟΝ.

Εὐμενέως, Πάτερ ἀγλαὲ, ταυτὶ δέχοιο, ἅπερ Σοί,
Ἧσεν Θεύδωρος, τέκμαρ ἑῆς φιλίης.

---

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΟΝ ΚΥΡΙΟΝ ΗΜΩΝ ΣΩΤΗΡΑ ΤΕ ΚΑΙ ΘΕΟΝ

# ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ.

## ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος· καὶ τὸ Τροπάριον Ἦχος Δ'.**

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

**Ω** Ἰησοῦ μου πολυέλεε Σῶτερ, ἐκδυσωπῶ σε ταπεινῶς, Ἰησοῦ μου, τῶν ἐγκλημάτων ῥῦσαί με καὶ κάθαρον, ψυχήν μου τὴν τάλαιναν, μολυσμῶν οὖσαν πλήρη, καὶ σῶσον Πολυεύσπλαγχνε, τοῦ πυρὸς τῆς Γεέννης, ἵνα θαῤῥούντως, Σῶτερ Ἰησοῦ, δοξολογῶ σε καὶ δοξάζω σωζόμενος.

Δόξα. Καὶ νῦν Θεοτοκίον. Οὐ σιωπήσωμεν....

Ὁ Ν'. Καὶ ὁ Κανὼν ἔχων Ἀκροστιχίδα

Ἰησοῦν Χριστὸν τὸν Θεὸν σέβω. Σεραφείμ.

### ᾨδὴ Α'. ἦχος πλ. Δ'. Ὑγρὰν διοδεύσας.

**Ι**ησοῦ γλυκύτατε τῆς ἐμῆς, ψυχῆς τῆς δυστήνου σὺ θεράπευσον, Ἰησοῦ, τραύματα δεινὰ, καὶ ἁμαρτίας, ὦ Ἰησοῦ, τοῦ σοῦ δούλου ἐξάλειψον.

**Η**θελον, γλυκύτατε Ἰησοῦ, Κρουνοῖς τῶν δακρύων πλημμελήματα τὰ ἐμὰ, ἐκπλῦναι, Χριστὲ, ἀλλ' ἀπατᾷ με ὁ πονηρὸς, οὗ τῶν δόλων με λύτρωσαι.

**Σ**ὺ Σῶτερ τοῦ σύμπαντος, Ἰησοῦ, ῥῦσαι τὸν σὸν δοῦλον ἐκ παγίδων τοῦ πονηροῦ, καὶ ποίησον μέτοχον τῆς δόξης τῆς Οὐρανίου, Ἰησοῦ μου γλυκύτατε. Θεοτοκίον.

www.tezaurliturgic.ro



Ὅλη, Κόρη, οὖσα ὅλη καλὴ, ὅλη φαεσφόρος, Θεοφόρος τε καὶ λαμπρὰ, λάμπρυνον τὰ ὄμματα ψυχῆς μου, καὶ φωτοφόρον με ὅλον ἀπέργασαι.

### ᾨδὴ Γ'. Σὺ εἶ τὸ στερέωμα.

Ὑπόδεξαι δέομαι, ὦ Ἰησοῦ μου, τὸν δοῦλόν σου, καὶ σῶσόν με νῦν παθῶν καὶ κινδύνων, καὶ Γεέννης ἀπάλλαξον.

Νῦν σῶσον τὸν δοῦλόν σου, ὦ Ἰησοῦ μου γλυκύτατε, καὶ τῆς σκληρᾶς καταδίκης ῥῦσαι, τῆς ἐν κρίσει, Φιλάνθρωπε.

Χριστέ μου τὸν δοῦλόν σου, ἐν κατανύξει βοῶντά σοι, νόσων δεινῶν καὶ θλίψεως πάσης, Ἰησοῦ μου, διάσωσον.

Θεοτοκίον.

Ῥῦσαί με τὸν ἄσωτον, μόνη Πανάχραντε, δέομαι, σαῖς μητρικαῖς πρεσβείαις, κινδύνων καὶ παντοίων κακώσεων.

### ᾨδὴ Δ'. Εἰσακήκοα Κύριε.

Ἰησοῦ μου γλυκύτατε, πάθη τὰ δεινά μου θεράπευσον, καὶ τοῦ δράκοντος ἐξάρπασον τῶν χειρῶν, Χριςέ μου, τὸν οἰκέτην σου.

Σὺ Φιλάνθρωπε Κύριε, τῆς ἀπεγνωσμένης ψυχῆς μου πέφυκας, Ἰησοῦ μου ἀπολύτρωσις, διὸ πάσης θλίψεώς με λύτρωσαι

Τὸν καιρὸν ὃν μοι δέδωκας, Σῶτερ Ἰησοῦ μου, κατεδαπάνησα εἰς παράνομα, καὶ δέομαι, ὡς Σωτὴρ τοῦ κόσμου ἀνακάλεσαι.

Θεοτοκίον.

Ὀλοφύρομαι, Πάναγνε, φέρων κατὰ νοῦν τὰ πολλά μου πταίσματα· διὸ δώρησαί μοι ἄφεσιν, δέομαί σου, Κόρη, ταῖς πρεσβείαις σου.

### ᾨδὴ Ε'. Φώτισον ἡμᾶς.

Νῦν ὁλοσχερῶς, Ἰησοῦ μου τὸν πανάθλιον, κατατυραννοῦσί με πάθη δεινά· διὸ κραυγάζω, Ἰησοῦ μου, σὺ διάσωσον.

Τῶν ἀσθενειῶν, Ἰησοῦ μου, σὺ ἀπάλλαξον, τὸν ἐν τῇ σκέπῃ



σου προστρέχοντα, ὦ Ἰησοῦ μου, καὶ κινδύνων ἐλευθέρωσον.

Οὐχ ἥμαρτέ ποτε, Ἰησοῦ μου, ἄλλος, εὔσπλαγχνε, ὡς ἐγὼ, Χριστέ μου, ὁ ἄθλιος· διὸ σὺ σῶσον καὶ κολάσεως ἐξάρπασον.

Θεοτοκίον.

Νῦν Ναοὺς Θεοῦ, τοῦ ἐν σοὶ Λόγου σκηνώσαντος, δεῖξον εὐσπλάγχνως, ὦ Παρθένε Ἁγνὴ, τοὺς τῇ θερμῇ ἐγκαυχωμένους προστασίᾳ Σου.

### ᾨδὴ ΣΤ'. Ἱλάσθητί μοι Σωτήρ.

Θεράπευσον, Ἰησοῦ, ψυχῆς τὰ ὄμματα δέομαι, τυφλώττοντα τοῦ οἰκτροῦ, Θεέ μου, καὶ φώτισον θείᾳ σου λαμπρότητι, ἵνα ἀνυμνῶ σε, Ἰησοῦ μου πολυέλεε.

Ἐλέησόν με, Σωτὴρ, τὸν ἄσωτον καὶ ταλαίπωρον, γλυκύτατε Ἰησοῦ, καὶ ῥῦσαι κακώσεως καὶ νόσων τὸν δοῦλόν σου, καὶ τῶν τοῦ Βελίαρ τεχνασμάτων με ἀπάλλαξον.

Ὁ πάθεσι χαλεποῖς ἐγκυλινδούμενος πάντοτε, γλυκύτατε Ἰησοῦ, πρὸς σὲ καταφεύγων νῦν, ζητῶ τὴν ἀνάῤῥωσιν· Σὺ δὲ, Ἰησοῦ μου, ὡς Σωτὴρ αὐτήν μοι δώρησαι.

Θεοτοκίον.

Νεκρὰν ἀπέργασαι νῦν τὴν ἔτι ζῶσαν, Πανάσπιλε, κακίαν μου, καὶ ψυχῆς τὴν νέκρωσιν ζώωσον, ὡς ζωῆς γεννήσασα χορηγὸν τὸν θεῖον, ἵνα πόθῳ μεγαλύνω σε.

Διάσωσον ἀπὸ κιδύνων, γλυκύτατε Ἰησοῦ μου, τοὺς ὑπὸ τὴν θείαν σκέπην σου καταφεύγοντας, καὶ δώρησαι ἁμαρτιῶν τὴν συγγνώμην.

καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς μνημονεύει· εἶτα τὸ Κοντάκιον Ἦχος Β'.

Γλυκύτατε Ἰησοῦ, ὁ τὸν Ἄσωτον σώσας, καὶ τὴν Πόρνην προσδεξάμενος, Ἰησοῦ μου, καὶ τὴν Αἱμόῤῥουν ἀφῇ ἰασάμενος, κἀμὲ, Ἰησοῦ μου γλυκύτατε, τὸν ἄσωτον, οἴκτειρον καὶ ῥῦσαι ἐκ πάντων τῶν βιωτικῶν πειρατηρίων καὶ θλίψεων, καὶ σῶσον, εὐεργέτα Ἰησοῦ, ὡς φιλάνθρωπος.

www.tezaurliturgic.ro



Εἶτα τὸ Προκείμενον Ἦχος Δ΄.

Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου Σου Κύριε.
Στίχος. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων. . . .

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ ἐγένετο ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς Ἀναλήψεως αὐτοῦ. (Ζήτει Αὐγούστου 16).

Δόξα. Πάτερ Λόγε Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι. . . .
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις. . . .
Στίχος. Ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν προσόμοιον.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Ἰησοῦ γλυκύτατε, τῶν Ὀρθοδόξων τὸ κλέος, Ἰησοῦ μακρόθυμε, Ἰησοῦ μου, σῶσόν με τὸν οἰκέτην σου, Ἰησοῦ, ῥῦσαί με ἀσθενείας πάσης, Ἰησοῦ μου ὡραιότατε, τὸν προσιόντα σοι, καὶ πρὸς σὲ, Σωτὴρ καταφεύγοντα, καὶ μόνος ὡς φιλάνθρωπος, τῆς χειρὸς τοῦ δράκοντός με ἐξάρπασον, παθῶν καὶ κινδύνων, Σωτήρ μου Ἰησοῦ, ἐλευθερῶν, καὶ τοῖς θεσμοῖς σου προσέχειν με, Ἰησοῦ, ἀξίωσον.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου, κτλ.

## ᾨδὴ Ζ΄. Παῖδες Ἑβραίων.

Σῶτερ τοῦ Κόσμου, Ἰησοῦ μου, τὸν ἀναίσθητον καὶ ἄσωτον, οἰκτίρμον, κατοικτείρησον νῦν καὶ λύτρωσαι Γεέννης, ὅπως ἀεὶ δοξάζω σε, ὡς Σωτῆρα, Ἰησοῦ μου.

Ἔχων μυρίας ἁμαρτίας, οὐ τολμῶ, Ἰησοῦ μου, ἀναβλέψαι, καὶ ἰδεῖν Οὐρανοῦ τὸ ὕψος ἐκ τοῦ φόβου· διὸ βοῶ διάσωσον τὸν οἰκτρὸν, ὦ Ἰησοῦ μου.

Βέβηλον νοῦν, ὦ Ἰησοῦ μου, περιφέρων, θερμῶς ἀναβοῶ σοι· τῆς ψυχῆς μου, Χριστὲ, τοὺς μώλωπας καθάρας, ἐκ τοῦ βυθοῦ με λύτρωσαι τῆς κακίας, Ἰησοῦ μου. Θεοτοκίον.

Ὢ Παναγία Θεοτόκε, Ἰησοῦν τὸν γλυκύτατον τεκοῦσα, τοὺς ὑμνοῦντάς σε νῦν, περίσωζαι λιταῖς σου, ἐκ πάσης περιστάσεως, καὶ κινδύνων ἀδοκήτων.



## ᾨδὴ Η΄. Τὸν Βασιλέα.

Σὲ Ἰησοῦ μου, ἐκδυσωπῶ· ὡς τὴν Πόρνην σὺ ἀπήλλαξας πολλῶν ἐγκλημάτων, οὕτως, Ἰησοῦ μου, καθαρὸν τὴν ψυχήν μου

Ἐν ψυχοφθόροις περιπεσὼν, Ἰησοῦ μου, ἀτοπίαις πρὸς σὲ καταφεύγω· ἔγειρόν με σῶσον, γλυκύτατε Θεέ Μου.

Ῥῦσαι, ὦ Σῶτερ, τῇ τοῦ Σταυροῦ σου δυνάμει, τὸν προστρέχοντα πρὸς σὲ τὸν Θεὸν Λόγον, καὶ ἀλόγων πάντων παθῶν ἀπάλλαξόν με. Θεοτοκίον.

Ἄχραντε Κόρη, λῦσον δεσμὸν τῶν κακῶν μου, τῇ στοργῇ με συνδέουσα τοῦ Λόγου, τοῦ ἐκ σοῦ τεχθέντος, καὶ σῶσον με λιταῖς σου.

## ᾨδὴ Θ΄. Κυρίως Θεοτόκον.

Φιλάνθρωπε, σὸν δοῦλον, τὸν ὑπερβεβηκότα ταῖς ἀτοπίαις Τελώνην καὶ Ἄσωτον, σὺ ὡς Θεὸς, Ἰησοῦ μου οἰκτίρμον, σῶσόν με.

Εὐωνύμου μοίρας, γλυκύτατέ μου Σῶτερ, τὸν σὸν οἰκέτην ἀπάλλαξον δέομαι, καὶ τὴν σὴν ἄφραστον δόξαν ἰδεῖν ἀξίωσον.

Ἰησοῦ Σωτήρ μου, πάσης ἐπηρείας δαιμονικῆς τὸν σὸν δοῦλον διάσωσον, καὶ ἐκ παθῶν καὶ κινδύνων με ἐλευθέρωσον. Θεοτοκίον.

Μεμολυσμένον ὄντα τὸν νοῦν μου, Παρθένε, ταῖς ἁμαρτίαις, σὺ μόνη Ἀμόλυντε, ἐκλιπαρῶ, ἀποκάθαρον ταῖς πρεσβείαις σου.

Τὸ, Ἄξιόν ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Ἰησοῦ γλυκύτατε Ἰησοῦ, Ἰησοῦ Σωτήρ μου, τῆς ψυχῆς μου τὰς χαλεπὰς, ἰάτρευσον νόσους, Θεέ μου Ἰησοῦ μου, καὶ σῶσον Ἰησοῦ μου τὸν σοὶ προστρέχοντα.

Ἰησοῦ γλυκύτατε Ἰησοῦ, δέξαι τὸν σὸν δοῦλον, ὑπεράγαθε Ἰησοῦ· σῶσον, μὴ παρίδῃς τὸν ἄσωτον, Θεέ μου, οἰκτίρμον Ἰησοῦ μου εὔσπλαγχνε Κύριε.

www.tezaurliturgic.ro



Τοὺς τετειχισμένους τῷ σῷ Σταυρῷ, καὶ ἐγκαυχωμένους τοῖς σοῖς Πάθεσιν, Ἰησοῦ, στήριξον ἐν πέτρᾳ, Χριστὲ, τῶν ἐντολῶν σου, καὶ σῶσον, Ἰησοῦ μου, ὡς ὑπεράγαθος.

Σὺ εἶ, Ἰησοῦ μου, ὁ φωτισμὸς, τῆς οἰκτρᾶς ψυχῆς μου, φῶς τοῦ Κόσμου, ὦ Ἰησοῦ, σὺ λάμπρυνον ταύτην τῷ θεαυγεῖ φωτί σου, καὶ ῥῦσαι αἰωνίου, Χριστὲ, κολάσεως.

καὶ Θεοτοκίον Πᾶσαι τῶν Ἀγγέλων.

Τρισάγιον. Καὶ τὸ Τροπάριον Ἦχος Β'.

Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν, Ἀγαθὲ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν Χριστὲ ὁ Θεός. κτλ.

Ἢ τὸ παρὸν, ποιηθὲν ὑπὸ τοῦ ἀοιδήμου Κωνσταντίνου Οἰκονόμου τοῦ ἐξ Οἰκονόμων Ἦχος Β'.

Ἑλκόμενόν σε, Κύριε, πρὸς τὸ πάθος τοῦ σταυροῦ, ὁρῶντες προσκυνοῦμέν σου τὴν ἄχραντον μορφὴν, Χριστὲ ὁ Θεὸς ἡμῶν. Βουλήσει γὰρ ηὐδόκησας σαρκὶ παθεῖν ὑπὲρ ἡμῶν, ἵνα σώσῃς τὸν κόσμον σου ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ. Δόξα, τῇ εὐσπλαγχνίᾳ σου Σωτήρ· δόξα, Πανάγαθε, τῇ μακροθυμίᾳ σου· δόξα παμβασιλεῦ, τῇ συγκαταβάσει σου.

Καὶ Θεοτοκίον Πάντα ὑπὲρ ἔννοιαν...

Ὁ Ἱερεὺς μνημονεύει ὡς ἔθος.

Ἐν τῇ Ἀπολύσει, ψάλλομεν τὸ παρὸν Προσόμοιον Ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου Σε νεκρόν.

Σῶσαι τὸ σὸν πλάσμα βουληθεὶς, τῆς Οἰκονομίας τὸ ὄντως μέγα Μυστήριον, χαίρων ἐξεπλήρωσας, ὦ Ἰησοῦ Ἀγαθὲ, καὶ τιμῇ ἐξηγόρασας τὸν σύμπαντα Κόσμον Αἵματος τιμίου σου, Χριστὲ γλυκύτατε· ὅθεν σοῦ δεόμεθα πίστει, στήριξον ἡμᾶς Ἰησοῦ μου, ἐν ταῖς ἐντολαῖς σου, Ὑπεράγαθε.

ΤΕΛΟΣ.



# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΘΕΟΠΑΤΟΡΑΣ

# ΙΩΑΚΕΙΜ ΚΑΙ ΑΝΝΑΝ.

## ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΙΩΑΚΕΙΜ τοῦ θαυμαστοῦ καὶ τῆς Ἄννης, τῶν παραδόξως τὴν Παρθένον τεκόντων, πίστει ἡμεῖς δεόμεθα κραυγάζοντες· ῥύσασθε Προπάτορες τοῦ Σωτῆρος ἐκ νόσων, θερμαῖς ὑμῶν δεήσεσι, πειρασμῶν καὶ κινδύνων, καὶ ταῖς γαστρὶ ἐχούσαις γυναιξὶ, τὴν εὐτοκίαν ταχέως δωρήσασθε.

Δόξα. καὶ Νῦν Θεοτοκίον. Οὐ σιωπήσωμεν.

Ὁ Ν'. καὶ ὁ κανών. Ἦχος πλ. Δ'. ἔχων Ἀκροστοιχίδα

Τοὺς Σοὺς Γονεῖς, Πάναγνε, λιγαίνω πόθῳ.

ᾨδὴ Α'. Ὑγρὰν διοδεύσας.

Τοὺς ἀξιωθέντας τεκεῖν ἐν γῇ, τὴν ὑψηλοτέραν ἀσυγκρίτως τῶν Σεραφὶμ, Ἰωακεὶμ καὶ Ἄνναν τοὺς ἐνθέους, ἐκδυσωπεῖν ὑπὲρ ἡμῶν ἱκετεύσωμεν.

Ὁλοτρόπῳ νεύσει πρὸς τὸν Θεὸν, προσέχοντες ὄντως οἱ Προπάτορες τοῦ Χριστοῦ, ἐκύησαν φύσεως τοῖς νόμοις, τὴν Θεοτόκον, ἣν δυσωπεῖν οὐ παυσόμεθα.

Ὑπερτέραν ζῶντες ἤδη ζωὴν, ἐν ἀφθάρτῳ βίῳ, ἱκετεύσατε τὸν Θεὸν, Ἰωακεὶμ καὶ Ἄννα παρασχεῖν μοι, τῷ τεθλιμμένῳ χαρὰν ὑπερκόσμιον. Θεοτοκίον.

Σαρκός μου τὰ πάθη τὰ χαλεπὰ, αἴτησαι σὸν Τόκον θανα-

www.tezaurliturgic.ro



τῶσαι, ὦ Μαριάμ, καὶ νεκρόν με ὄντα ἁμαρτίαις, ἀναζωῶσαι ὡς φύσει φιλάνθρωπος.

ᾠδὴ Γ'. Σὺ εἶ τὸ στερέωμα.

Στειρεύουσα, Ἔνθεε, τεκεῖν ὡς Κτίστην ἱκέτευες, οὕτω καὶ νῦν δυστοκίας πάσης τὰς ἐγκύους ἀπάλλαξον.

Ο χάριν τὴν ἔνθεον, τεκεῖν πλουτίσας Θεόπαιδα, Ἰωακεὶμ πρέσβευε Κυρίῳ, λυτρωθῆναι κινδύνων με.

Ὕμνους νῦν προσάξωμεν, πρὸς τοὺς Θεόπαιδα τέξαντας, Ἰωακεὶμ καὶ Ἄνναν τὴν Θείαν, καὶ πιστῶς μακαρίσωμεν.

Θεοτοκίον.

Σὲ πλουτοῦντες στήριγμα καὶ προστασίαν, Πανάχραντε, τῶν πειρασμῶν καὶ δεινῶν παντοίων, ἐκλυτρούμεθα τάχιον.

ᾠδὴ Δ'. Εἰσακήκοα Κύριε.

Γηθοσύνως γεραίρομεν, καὶ πιστῶς νυνὶ ἱκετεύσωμεν τοῦ Σωτῆρος τοὺς Προπάτορας, ἵνα λυτρωθῶμεν πάσης θλίψεως.

Οἱ Σωτῆρος Προπάτορες, Ἄννα καὶ Ἰωακεὶμ οἱ Θεόληπτοι, αὐτῷ δέησιν προσάξατε, πάσης ἡμᾶς ῥύσασθαι κακώσεως.

Νεκρωθέντα με πταίσμασι, καὶ δεινοῖς παντοίοις ἐξαναστήσατε, Θεοπάτορες Πανένδοξοι, καὶ εἰς ἀφθαρσίαν ὁδηγήσατε.

Θεοτοκίον.

Ἐν δεινοῖς ἁμαρτήμασι, τὴν ψυχὴν μολύνας ὁ ἄθλιος, πρὸς τὴν σκέπην σου, Θεόνυμφε, καταφεύγω λύσιν ἐξαιτούμενος.

ᾠδὴ Ε'. Φώτισον ἡμᾶς.

Ἴθυνον ἀεί, ξυνωρὶς Θεομακάριστε, πρὸς τὰ τοῦ Κυρίου προστάγματα, πάντα μου βίον, καὶ πρὸς φῶς με καθοδήγησον.

Σώφρονι ζωῇ ἐλλαμφθέντες, Θεοπάτορες, πάντας σωφρονεῖν ἀξιώσατε, καὶ καθαρότητος πληρώσατε.

Πάντας, Ἀγαθοί, ἀγαθότητος στειρεύοντας, θείῳ φέγγει ἡ-



μᾶς λάμψατε,, ὡς παρθενίας τὸ ἀγλάϊσμα γεννήσαντες.

Θεοτοκίον.

Ἄσπιλε Θεὸν ἡ τεκοῦσα τὴν καρδίαν μου, μολυνθεῖσαν πάθεσι σὺ ἁγίασον, ἁγιωτέρα τῶν Ἀγγέλων οὖσα, Πάναγνε.

ᾠδὴ ΣΤ'. Ἱλάσθητί μοι.

Νενεκρωμένον τὸν νοῦν ἐκ τῶν κακῶν μου, Θεόληπτοι, ὑμῶν πρεσβείαις θερμαῖς, ἤδη ἀναστήσατε, καὶ πάσης με ῥύσασθε, θλίψεως καὶ νόσου, καὶ δεινῶν τοῦ πολεμήτορος.

Ἀπόθου, ὦ ταπεινή μου ψυχή, φορτία δυσβάστακτα ἁμαρτιῶν, καὶ Χριστοῦ Προπάτορσι βόησον ἀεὶ ἐνισχύειν σε, τὸν φόρτον βαστάζειν τοῦ Χριστοῦ τὸν ἐλαφρότατον.

Γενοῦ μοι καταφυγή, ὦ Ξυνωρὶς ὑπερθαύμαστε, τῶν Προπατόρων Χριστοῦ, καὶ θεία ἀντίληψις τῇ πασχούσῃ δούλῃ σου, ὑπὸ δυστοκίας, ἧς ἀπάλλαξόν με δέομαι. Θεοτοκίον.

Νοσοῦντες καὶ πειρασμοῖς δεινοῖς ἀεὶ συνεχόμενοι, Παρθενομῆτορ Ἁγνή, πρὸς σὲ καταφεύγομεν, καὶ πίστει βοῶμέν σοι· ῥῦσαι τοὺς σοὺς δούλους περιστάσεων καὶ θλίψεων.

Διάσωσον Ξυνωρὶς θεία τῶν Θεοπατόρων, Ἰωακεὶμ καὶ Ἄννης ἡμᾶς ἀπὸ θλίψεων, καὶ νόσων, ταῖς ὑμῶν ἱκεσίαις.

Καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς μνημονεύει· καὶ εὐθὺς τὸ Κοντάκιον Ἦχος Β'.

Ὡς μέγιστοι δύο ἀστέρες ἠνέγκατε τὴν Αὐγὴν ὄντως τὴν πάμφωτον, τὴν τῷ κόσμῳ τὸν μέγαν Ἥλιον ἐξανατείλασαν· διὸ σὺν Αὐτῇ Αὐτὸν ἱκετεύσατε, Ἰωακεὶμ καὶ Ἄννα Θεόφρονες, σωθῆναι τοὺς πίστει ὑμᾶς γεραίροντας.

Εἶτα τὸ Προκείμενον Ἦχος Δ'.

Ὤμωσε Κύριος τῷ Δαβὶδ βοήθειαν, καὶ οὐ μὴ ἀθετήσῃ αὐτήν.

Στίχος. Ἀγαλλιᾶσθε Δίκαιοι ἐν Κυρίῳ. . . .

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος· οὐδεὶς λύχνον ἅψας, καλύπτει αὐτὸν σκεύει. . .

(Ζήτει Δεκεμβρίου 9).

www.tezaurliturgic.ro



Δόξα. Ταῖς τῶν Θεοπατόρων πρεσβείαις. . . .
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. . . .
Στίχος. Ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν προσόμοιον

Ἦχος Πλ. Β'. **Μεταβολὴ τῶν θλιβομένων.**

**Μ**εταβολὴ παντὸς κινδύνου, ἀπαλλαγὴ παντοίων νόσων ὑπάρχουσα Δυὰς εὐλογημένη, Ἰωακεὶμ καὶ Ἄννα, σώσατε πόλιν καὶ λαὸν, ταῖς Ὑμῶν ἐνθέρμοις ἱκεσίαις, πρὸς τὸν ἐκ Παρθένου γεννηθέντα, ἐκ πάσης ἀσθενείας καὶ θλίψεως.

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ.

**ᾨδὴ Ζ'. Παῖδες Ἑβραίων.**

**Ἐ**λέους οἱ τέξαντες τὴν βρύσιν, ὦ Προπάτορες Χριστοῦ τοῦ Ζωοδότου, ταῖς πρεσβείαις Ὑμῶν, παύσατε ψυχῆς νόσον, τοῦ πρὸς ὑμᾶς προσφεύγοντος, καὶ τὰ πάθη τῆς καρδίας.

**Λ**άμψει, Προπάτορες Σωτῆρος, τοῦ Υἱοῦ τῆς Θεόπαιδος Μαρίας, καταυγάσατε νῦν ψυχὰς τῶν ἀνυμνούντων, καὶ τὴν ὑμῶν πανήγυριν μετὰ πόθου ἐκτελούντων.

**Ἴ**δε, Ἰωακεὶμ θεόφρον, τὴν ἀσθένειαν ψυχῆς μου τῆς ἀθλίας, καὶ ἐχθρῶν τῶν δεινῶν, καὶ πάσης ἄλλης βλάβης, ῥῦσαί με ταῖς πρεσβείαις Σου, ἵν' ἀεὶ σὲ μακαρίζω. Θεοτοκίον.

**Γ**ένος, Παρθένε, ὀρθοδόξων, συνεχόμενον κινδύνοις τε καὶ νόσοις, σοὶ προστρέχει θερμῶς, καὶ πίστει ἀνακράζει, σῶσόν με παναμώμητε, παναγίαις σου πρεσβείαις.

**ᾨδὴ Η'. Τὸν Βασιλέα.**

**Ἀ**πεγνωσμένῳ, ὦ Ξυνωρὶς μακαρία, ἐκ τοῦ πλήθους παθῶν τῶν ψυχοφθόρων, βίου ἐναρέτου γενοῦ μοι ὁδηγία.

**Ἵ**λεον, Ἄννα, τὸν Σωτῆρα γενέσθαι, ταῖς πασχούσαις ἀεὶ ἐκδυσώπει, καὶ τῆς δυστοκίας αὐτὰς ἐλευθερῶσαι.

**Ν**οσούντων πάντων, Θεοπάτορες θεῖοι, ἰατροὺς Ὑμᾶς ἀναγνωρίζων, πίστει καταφεύγω ὑμῶν τῇ προστασίᾳ.



Θεοτοκίον.

**Ὡ**ς ὀρθοδόξων ἡ ἀντίληψις, καὶ βοήθεια, ἐλπίς τε καὶ σκέπη, τὸν σὺ προσφυγόντα σκέπασον ὦ Παρθένε.

**ᾨδὴ Θ'. Κυρίως Θεοτόκον.**

**Π**αρθένου τῆς Πανάγνου Γεννήτορες ὄντες, τοὺς ἐκτελοῦντας τὴν μνήμην ὑμῶν, Πανένδοξοι, δεινῶν παντοίων λυτρωθῆναι καθικετεύσατε.

**Ο**ἰκτείρατε, Πατέρες τῆς Ἀειπαρθένου, ὡς συμπαθεῖς ἐμὲ τὸν ἀκάθαρτον, καὶ λαμπηδόνων φωτὸς τοῦ θείου ἐμπλήσατε.

**Θ**εὸν τὸν σαρκωθέντα, Ἰωακεὶμ καὶ Ἄννα, ὑπὲρ ἡμῶν ἱκετεύειν μὴ παύσητε, τοῦ λυτρωθῆναι κινδύνων, καὶ νόσων καὶ θλίψεων. Θεοτοκίον.

**Ὦ** Θεοτόκε Κόρη, σῶσον τὸν σὸν δοῦλον, καὶ ἐκ κινδύνων καὶ νόσων ἀπάλλαξον, ταῖς μητρικαῖς σου χρωμένη πρεσβείαις, Ἄσπιλε.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Καὶ τὰ παρόντα Μεγαλυνάρια.

**Δ**εῦτε εὐφημήσωμεν οἱ Πιστοὶ, Ἰωακεὶμ καὶ Ἄνναν τοὺς Προπάτορας τοῦ Χριστοῦ, τοὺς ἐξ ἐπαγγελίας καὶ τῆς φύσεως νόμοις, τεκόντας τὴν Παρθένον καὶ Θεομήτορα.

**Σ**ώσατε, Προπάτορες τοῦ Χριστοῦ, τὰς ἐγγυμονούσας, καὶ λυτρώσατε, ταῖς εὐχαῖς ὑμῶν, δυσοκίας καὶ πάσης ἄλλης βλάβης, ὡς παῤῥησίαν ἔχοντες πρὸς τὸν Κύριον.

**Π**ρευσβεύσατε, Θεόληπτοι, τῷ Χριστῷ, ῥυσθῆναι ἐκ νόσων καὶ παντοίων ἁμαρτιῶν, τοὺς πίστει τιμῶντας τὴν σεπτὴν ὑμῶν μνήμην, καὶ δοῦναι εὐτοκίαν πάσαις ἐπίτεξιν.

Καὶ τό, **Πᾶσαι τῶν Ἀγγέλων.**

Τρισάγιον. Καὶ τὸ Τροπάριον. Ἦχος Β'.

**Τ**ῶν δικαίων Θεοπατόρων, Κύριε, τὴν μνήμην ἑορτάζοντες, δι' αὐτῶν σὲ δυσωποῦμεν· Σῶσον τὰς ψυχὰς ἡμῶν.

Ὁ Ἱερεὺς μνημονεύει ὡς ἔθος.

ΣΥΜΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

www.tezaurliturgic.ro



Ἐν τῇ Ἀπολύσει, προσκυνοῦντες τὴν ἁγίαν Εἰκόνα ψάλλομεν τὸ παρὸν Προσόμοιον Ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου Σε νεκρόν.

Δεῦτε φιλοδίκαιοι πιστῶς, δεῦτε οἱ Ὀρθόδοξοι πάντες συνεορτάσωμεν, τὴν σεπτὴν πανήγυριν τῶν Προπατόρων Χριστοῦ, καὶ συμφώνως ὑμνήσωμεν αὐτούς, ἐκβοῶντες· ῥύσασθε, Θεόληπτοι, ἡμᾶς ἐκ θλίψεων, νόσων καὶ πολλῶν ἐγκλημάτων, καὶ λιταῖς ὑμῶν εὐτοκίαν πάσαις ταῖς ἐπίτεξι δωρήσασθαι.

ΤΕΛΟΣ.

---

# ΕΕΤΡΟΣ

ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ ΚΑΙ ΜΗΤΕΡΑ ΗΜΩΝ

## ΜΑΤΡΩΝΑ ΤΗΝ ΧΙΟΠΟΛΙΤΙΔΑ.

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τόν, Εὐλογητόν, τό, Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΤΗΝ τὸν Νυμφίον Ἰησοῦν ἀγαπήσασαν, καὶ διαλάμψασαν ὁσίαις ἐν πράξεσιν, ἀνευφημοῦντες κράξωμεν ἐκ βάθους ψυχῆς, Ματρῶνα Θεόληπτε, ταῖς ἐνθέοις σου ῥῦσαι, λιταῖς, ἐκ περιστάσεων ἀδοκήτων καὶ νόσων· καὶ ἐκ κινδύνων λύτρωσαι δεινῶν, τοὺς προσκυνοῦντας τὴν θείαν εἰκόνα σου.

Δόξα. Καὶ Νῦν. Θεοτοκίον. Τῇ Θεοτόκῳ. . . .

Ὁ Ν'. Καὶ ὁ Κανὼν ἔχων ἐν τοῖς Θεοτοκίοις Ἀκροστιχίδα ΣΕΡΑΦΕΙΜ.

ᾨδὴ Α'. Ἦχος πλ. Δ'. Ὑγρὰν διοδεύσας.

Συνοῦσα Οὐρανίαις ταῖς στρατιαῖς, ὁσία Ματρῶνα καὶ χορεύουσα σὺν αὐταῖς, πάντας τοὺς τιμῶντάς σε, πρεσβείαις ταῖς ἱεραῖς σου ἀεὶ διαφύλαττε.



Προξενοῦσα ὄφελος τοῖς Πιστοῖς, ἐπέστη ἡ μνήμη, σοῦ Ματρῶνα ἡ εὐκλεής, ἐν ᾗ σε θερμῶς παρακαλοῦμεν, μνήσθητι, μῆτερ, ἡμῶν τῶν ὑμνούντων σε.

Τοῦ Δεσπότου εὔοσμον καὶ σεπτὸν σκεῦος ἀνεδείχθης ἐκκαθάρασα τὴν ψυχήν· Ματρῶνα, διὸ τὸν σὸν οἰκέτην, τῆς δυσωδίας παθῶν με καθάρισον. Θεοτοκίον.

Συνέχομαι κινδύνοις καὶ πειρασμοῖς, καὶ πρὸς σὲ Παρθένε, καταφεύγων ἐπιζητῶ, τὴν λύσιν αὐτῶν καὶ σωτηρίαν· διὸ λιταῖς σου τὸν δοῦλόν σου οἴκτειρον.

ᾨδὴ Γ'. Σὺ εἶ τὸ στερέωμα.

Σθένει τῆς πρσβείας σου, παθῶν τὸν κλύδωνα κόπασον, καὶ πρὸς ζωῆς, Ματρῶνα, λιμένα, τοὺς σοὺς δούλους ἐνόρμισον.

Ὦ Ματρῶνα πάνσεμνε, Μοναζουσῶν ὤφθης καύχημα· διὸ κἀμὲ διάγειν σωφρόνως καὶ ἁγνῶς καταξίωσον.

Νέκρωσον, πρεσβείαις σου, φθοροποιὰ πάθη ἔνδοξε, καὶ τῶν δεινῶν συμφορῶν με ῥῦσαι, ὦ Ματρῶνα Θεόληπτε. Θεοτοκίον.

Ἔχων τὴν ἐλπίδα μου εἰς σὲ Πανάσπιλε Δέσποινα, ὅλην, παθῶν καὶ κινδύνων ῥῦσαι, τὴν ψυχήν μου πρεσβείαις σου.

ᾨδὴ Δ'. Εἰσακήκοα Κύριε.

Ταῖς ῥανίσι κατάρδευσον, τῆς σῆς εὐσπλαγχνίας, Ματρῶνα ἔνδοξε, χερσωθεῖσαν τὴν καρδίαν μου, καὶ καρποφορεῖν αὐτὴν ἀξίωσον.

Πρὸς Χριστὸν διαμεῖναί μου τὰς τῆς διανοίας βάσεις ἀξίωσον καὶ δαιμόνων τὴν ἐπήρειαν ἀπ' ἐμοῦ, Ματρῶνα, τάχει ποίησον.

Ῥωμαλαῖον τὸ φρόνημα, ἔχειν ἐν δεινοῖς με, Ματρῶνα πρέσβευε, πρὸς Χριστὸν τὸν ὑπεράγαθον τὴν ἐμὴν ἐλπίδα ἀναθέμενον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ρῦσαι, Μῆτερ, τὸν δοῦλόν σου ἐκ τῶν κατεχόντων δεινῶν με θλίψεων· ἐπὶ σοὶ γὰρ ἀνατίθημι πᾶσαν τὴν ἐλπίδα, Ἀειπάρθενε.

### ᾨδὴ Ε΄. Φώτισον ἡμᾶς.

Νεῦσον ταῖς ἡμῶν ἱκεσίαις, Πανακήρατε, καὶ τυραννούσης νόσου λύτρωσαι, τοὺς σὲ τιμῶντας ὦ Ματρῶνα καὶ μακαρίζοντας.

Πρέσβευε Χριστῷ, ὦ Ματρῶνα θεοδόξαστε, δωρήσασθαι ἄφεσιν καὶ συγχώρησιν ἁμαρτιῶν, τῷ προσφυγόντι ἐν τῇ σκέπῃ σου·

Τῶν Μοναζουσῶν, ὦ Ματρῶνα, οὖσα καύχημα, τοῖς μετὰ πόθου σὲ γεραίρουσι, τῶν ἰαμάτων τὰ χαρίσματα χορήγησον.

Θεοτοκίον.

Ἄχραντε ἡμῖν τοῖς οἰκέταις σου χορήγησον, τοῖς κατεχομένοις ὑπὸ τῶν θλίψεων, τὴν σωτηρίαν μεσιτείαις σου πρὸς Κύριον.

### ᾨδὴ ΣΤ΄. Τὴν δέησιν ἐκχεῶ.

Ἰσάγγελον ἐπὶ γῆς πολιτείαν, ὡς διήνυσας, Ματρῶνα, ὑμνοῦσα, τὸν δι' ἡμᾶς γεννηθέντα ἀφράστως, οὕτω κἀμὲ διανύσαι ἀξίωσον, σωφρόνως καὶ Ἀγγελικῶς τὴν ζωήν, ταῖς θερμαῖς σου δεήσεσιν.

Οἰκτρός εἰμι τῶν ἀνθρώπων ἁπάντων, δαπανήσας, ὦ Ματρῶνα, τὸν πλοῦτον, ἐν μιαραῖς πράξεσιν ἀσωτείας, καὶ ἀγαθῶν σωτηρίων στερήσεσι· προσέρχομαί σοι οὖν πιστῶς, καὶ βοῶ σοι, πρεσβείαις σου, σῶσόν με.

Τοὺς δούλους σου, ὦ Ματρῶνα θεόφρον, ἐλευθέρωσον λιταῖς σου ἐκ νόσων, καὶ πειρασμῶν, ἐμπρησμοῦ καὶ κινδύνων, καὶ αἰφνηδίου θανάτου ἐξάρπασον· λιμὸν λοιμόν τε καὶ σεισμόν, ἐξ αὐτῶν ὅσον τάχει ἀπέλασον.

Θεοτοκίον.

Φυγάδευσον ἐκ τῆς ἀθλίας σαρκός μου, τὴν ἀνίατον ἀσθένειαν, Κόρη, καὶ τῶν δεινῶν ἀλγηδόνων με ῥῦσαι, καὶ θεραπείαν τελείαν μοι δώρησαι, καὶ σῶσόν με τὸν ἐπὶ σοὶ πεποιθότα ταῖς θείαις πρεσβείαις σου.



Διάσωσον ἐκ νοσημάτων ἡμᾶς ποικίλων, Ματρῶνα, καὶ ἐκ παθῶν καὶ κινδύνων πρεσβείαις σου, τοὺς σοὶ προστρέχοντας καὶ τιμῶντάς σε πόθῳ

καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς μνημονεύει· εἶτα τὸ Κοντάκιον Ἦχος Γ΄.

### Ἡ Παρθένος σήμερον.

Ἰατρείας ἄμισθον καὶ παραδόξων θαυμάτων, ἡ Εἰκών σου δείκνυται, Πηγή, Ματρῶνα, θεόφρον· πάντες οὖν οἱ προσιόντες αὐτῇ ἐν πίστει, ἴασιν ψυχῶν ἀρύονται καὶ σωμάτων, καὶ βοῶσι γηθοσύνως· Χαῖρε Κυρίου ὁσία ἔνδοξε.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δ΄.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι. . . .

Στίχος. Καυχήσονται ὅσιοι ἐν δόξῃ. . . .

### Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ὡμοιώθη ἡ Βασιλεία τῶν Οὐρανῶν. . . . (Ζήτει Σαββάτῳ ιζ΄).

Δόξα. Ταῖς τῆς σῆς ὁσίας. . . .

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις. . . .

Στίχος. Ἐλεήμων ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν προσόμοιον.

Ἦχος Πλ. Β΄. **Ὅλην ἀποθέμενοι.**

Πόθῳ εὐφημοῦμέν σε, ἔνδοξε μῆτερ Ματρῶνα, ἐτησίως μέλποντες ἐν Ναῷ ἁγίῳ σου καὶ γεραίροντες, τὴν σεπτὴν μνήμην σου καὶ τοὺς σοὺς ἀγῶνας, καὶ τὴν θείαν προσκυνοῦντές σου καὶ χαριτόβρυτον Εἰκόνα δεόμεθα, πρόστηθι, καὶ ῥῦσαι ἡμᾶς πάσης θλίψεως, ταῖς πρὸς τὸν Θεόν σου ἐντεύξεσι, δεινῶν τε παντοίων, καὶ νόσων καὶ κινδύνων καὶ φθορᾶς, καὶ πάσης ἄλλης κακώσεως, ἡμᾶς τοὺς οἰκέτας σου

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου, κτλ.

### ᾨδὴ Ζ΄. Παῖδες Ἑβραίων.

www.tezaurliturgic.ro



Ὥσπερ ἐτήρησας, Ματρῶνα, καθαρώτατον τὸν βίον σου καὶ θεῖον, οὕτως ἤδη κἀμὲ ἀξίωσον διάγειν ἐν σωφροσύνῃ πάντοτε, ταῖς ἐνθέρμοις σου πρεσβείαις.

Κόσμον ψευδῆ καὶ τὰ ἐν Κόσμῳ, ὡς κατέλειψας ἐνθέῳ πεποιθήσει, ὦ Ματρῶνα σεμνὴ, κἀμὲ δὴ τὸν ἀχρεῖον, φρονεῖν τὰ ὑπερκόσμια, καταξίωσον εὐχαῖς σου.

Φέγγει τῆς θείας φρυκτωρίας, ὦ Ματρῶνα σεμνὴ ἀεὶ αὐγαζομένη, τοὺς τιμῶντάς σε νῦν φωτίζεις μελῳδοῦντας· Εὐλογητός εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας Θεοτοκίον.

Ἔμμονον ἔχων τὴν κακίαν, καὶ δουλούμενος ἀτόποις συνηθείαις, εὐσπλαγχνίᾳ τῇ σῇ, προστρέχω ἀνακράζων· σῶσόν με σῶσον, Πάναγνε, μητρικαῖς σου ἱκεσίαις.

### ᾨδὴ Η΄. Τῶν ἐν Ὄρει ἁγίῳ.

Τῶν ἱδρώτων οἱ ὄμβροι, ὦ Ματρῶνα, παθημάτων ξηραίνουσι τοὺς ὄμβρους, καὶ τὰς ψυχὰς ἀρδεύουσι τῶν πίστει σε ἀνυμνολογούντων, καὶ ἀσπαζομένων τὴν θείαν σου Εἰκόνα.

Ὦ Ματρῶνα θεόσοφε, ἀφθόνως τῇ ψυχῇ μου τὴν σωτηρίαν δίδως· ὡς γὰρ ὁσία ἔχεις πρὸς τὸν Κύριον πολλὴν παῤῥησίαν· διὸ μὴ παρίδῃς τοὺς πίστει σε τιμῶντας.

Ὅλη τῇ αἴγλῃ τῆς Τριάδος συγκραθεῖσα καὶ τῷ φαεινοτάτῳ ἐνηδομένη φέγγει τῆς θεότητος, πάντας τοὺς τιμῶντας τὴν μνήμην σου, Ματρῶνα, φωτὶ τῷ θείῳ λάμψον. Θεοτοκίον.

Ἰσχυρότατον ὅπλον, σὲ Παρθένε, κατ' ἐχθρῶν προβαλλόμεθα, καὶ πάντων τῶν δυσχερειῶν καὶ νόσων ἐκλυτρούμεθα, φεύγομεν δὲ πάντα αἱρέσεων σάλον, καὶ τοῦ Σατὰν τοὺς δόλους.

### ᾨδὴ Θ΄. Κυρίως Θεοτόκον.

Ἰδεῖν Χριστοῦ τὴν δόξαν, ὄντως τὴν ὡραίαν, καὶ ἀπολαῦσαι, Ματρῶνα, ἱκέτευε αὐτῆς, τὸν πίστει σε πόθῳ ἀεὶ γεραίροντα.

Τὴν σὴν θερμὴν προσβείαν ἔχων, ὦ Ματρῶνα, τῶν δυσμενῶν οὐ πτοοῦμαι τὴν κάκωσιν, καὶ τῶν δαιμόνων τὰ φοβερὰ μηχανήματα.



Πυρὶ τῶν σῶν ἀγώνων καύσασα, Ματρῶνα, τὰς παρατάξεις δαιμόνων, κατάρδευσον τῆς εὐσεβείας σταγόσι τοὺς σὲ γεραίροντας. Θεοτοκίον.

Μαρία, σωτηρίας λιμένα σε εἰδότες, τῇ παναχράντῳ σου σκέπῃ προστρέχομεν, καὶ ἐκ κινδύνων ῥυσθῆναι σὲ ἱκετεύομεν.

Τό, Ἄξιόν ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Ἔχοντες Εἰκόνα σου τὴν σεπτὴν, ἔνδοξε Ματρῶνα, ὡς προπύργιον ὀχυρὸν, προσφεύγομεν ταύτῃ ἐν πᾶσι τοῖς κινδύνοις, καὶ ἐκ παντοίας βλάβης ἀπολυτρούμεθα.

Χαίροις ὁ τῆς Χίου θεῖος βλαστὸς, χαίροις βακτηρία καὶ ἰάτρεια τῶν τυφλῶν, χαίροις τῶν Παρθένων ὡράϊσμα, Ματρῶνα, καὶ πάντων Ὀρθοδόξων τὸ ἀγαλλίαμα.

καὶ Θεοτοκίον **Πᾶσαι τῶν Ἀγγέλων.**

Τρισάγιον. Καὶ τὸ Τροπάριον Ἦχος Α΄.

Μονάσασα θεαρέστως ἐναρέτως ἐβίωσας καὶ χάριν ἰαμάτων ἐκομίσω, Ματρῶνα Θεόληπτε· θαυμάσια γὰρ τελέσασα φοβερὰ καὶ Μονὴν συγκροτήσασα ἱερὰν, προσενήνοχας Χριστῷ τῶν σωζομένων πληθὺν, Πανόλβιε· δόξα τῷ σὲ δοξάσαντι Θεῷ· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Ὁ Ἱερεὺς μνημονεύει ὡς ἔθος.

Ἐν τῇ Ἀπολύσει, ψάλλομεν τὸ παρὸν Προσόμοιον Ἦχος Β΄.

**Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.**

Πόθῳ θερμοτάτῳ καὶ στοργῇ, τοὺς σὲ εὐφημοῦντας, Ματρῶνα, καὶ ἀναμέλποντας, ῥῦσαι ταῖς πρεσβείαις σου ἐκ πάσης θλίψεως, συμφορᾶς καὶ κακώσεως, ὅπως ἐτησίως Μνήμην τὴν πανίερον ἐπιτελῶμέν σου, ὕμνοις ἐγκωμίων καὶ κρότοις, καὶ τὴν ἱεράν σου Εἰκόνα, πίστει τε καὶ πόθῳ ἀσπαζώμεθα.

ΤΕΛΟΣ.

www.tezaurliturgic.ro



# ΕΤΕΡΟΣ

## ΕΙΣ ΤΟΝ ΠΡΩΤΟΝ ΙΕΡΑΡΧΗΝ ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ
## ΑΔΕΛΦΟΘΕΟΝ ΙΑΚΩΒΟΝ.

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος· καὶ τὸ Τροπάριον Ἦχος Δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΤΟΝ κατὰ σάρκα συγγενῆ τοῦ Σωτῆρος, καὶ τῆς Σιὼν Ἱεραρχίας τὸ βάθρον, ἀνευφημοῦντες ἅπαντες κραυγάσωμεν πιστῶς· ἅγιε Ἰάκωβε, μὴ ἐλλείπῃς πρεσβεύων ὑπὲρ ἡμῶν πρὸς Κύριον, τῶν ἐν πίστει τιμώντων, τὴν παναγίαν μνήμην σου ἀεί, ἵνα ῥυσθῶμεν ποικίλων κακώσεων.

Δόξα. καὶ Νῦν Θεοτοκίον. Οὐ σιωπήσωμεν.

Ὁ Ν'. Καὶ ὁ Κανὼν ἔχων Ἀκροστιχίδα
Σὲ τὸν Θεάδελφον ἀεὶ πόθῳ λιγαίνω, Μάκαρ.

ᾨδὴ Α'. Ἦχος Πλ. δ'. Ὑγρὰν διοδεύσας.

Σὲ Θεῷ προσάγομεν πρεσβευτὴν, Ἰάκωβε μάκαρ, ἐκδυσώπησον οὖν θερμῶς, δοῦναι τοῖς ἐν πίστει σε τιμῶσι, τὴν αἰωνίαν ἡμῖν ἀπολύτρωσιν.

Ἐπὶ γῆς ἰσάγγελον ἀληθῶς πολιτείαν ἔσχες, καὶ Ἁγίων ἐν Οὐρανοῖς σκηνώσας, Ἰάκωβε, χορείαις, ὑπὲρ ἡμῶν τὸν Θεὸν καθικέτευε.

Τοὺς μνήμην, Ἰάκωβε, εὐλαβῶς, τὴν σὴν ἐκτελοῦντας, ἀπολύτρωσαι τῶν δεινῶν κινδύνων καὶ νόσων, σαῖς πρεσβείαις, λοιμοῦ λιμοῦ τε καὶ πάσης κακώσεως. Θεοτοκίον.

Ὁ Θεὸς ὁ ἅγιος, Μαριὰμ, ἐπὶ τῆς γῆς ὤφθη, καὶ ἐγένετο ἀληθῶς ἄνθρωπος ἐκ σοῦ ἀνερμηνεύτως, ἵνα λυτρώσῃ ἐξ Ἅδου τὸν ἄνθρωπον.



ᾨδὴ Γ'. Σὺ εἶ τὸ στερέωμα.

Νῦν πρὸς τὸν Παντάνακτα ἀνυψωθεὶς καὶ πυρσούμενος ταῖς παρ' αὐτοῦ, Μάκαρ, φωταυγείαις, σαῖς λιταῖς ἡμᾶς φώτισον.

Θερμῶς, ὦ Ἰάκωβε, σὲ ἱκετεύομεν, πρόφθασον, ῥῦσαι ἡμᾶς ἱεραῖς εὐχαῖς σου, ἐκ κινδύνων καὶ θλίψεων.

Ἐν τῇ θείᾳ μνήμῃ σου, μάκαρ Ἰάκωβε, ἅπασα τῶν εὐσεβῶν χαίρει ἡ χορεία, λυτρουμένη τῶν θλίψεων. Θεοτοκίον.

Ἁγνὴ Παναμώμητε, ἡ τὸν Σωτῆρα γεννήσασα, ταῖς σαῖς λιταῖς, παθῶν τυραννίδος τοὺς σοὺς δούλους ἀπάλλαξον.

ᾨδὴ Δ'. Εἰσακήκοα Κύριε.

Δεχθεὶς, Μάκαρ Ἰάκωβε, ἐν ψυχῇ τὴν χάριν τοῦ Πνεύματος, τὰς ἐλλάμψεις τοῖς τιμῶσί σε, σαῖς λιταῖς, αὐτοῦ νῦν ἐξαπόστειλον.

Ἐπιλάμψεων γέγονας, ὥσπερ δεκτικὸς Θεοῦ, ὦ Ἰάκωβε, οὕτω δώρησαι τοῖς δούλοις σου, φωτὸς ἐμπλησθῆναι ταῖς πρεσβείαις σου.

Λυτρωτῆ ἴσε γινώσκοντες, πίστει τε καὶ πόθῳ σὲ ἱκετεύομεν, τοὺς τιμῶντάς σε, Ἰάκωβε, νόσων σαῖς πρεσβείαις ἐλευθέρωσον. Θεοτοκίον.

Φῶς τεκοῦσα, Πανάχραντε, τοῦ Πατρὸς τὸν λόγον, θείαις πρεσβείαις σου, τὴν ψυχήν μου φωταγώγησον, τὴν δεινὴν σκοτόμαιναν διώκουσα.

ᾨδὴ Ε'. Φώτισον ἡμᾶς.

Ὄλβον, Ἀγαθὲ, ἐπουράνιον αἰώνιον, ἀντὶ τῶν προσκαίρων εὗρες, Ἰάκωβε, ἐν ᾧ τρυφῶν ὑπὲρ ἡμῶν καθικέτευε.

Νῦν, ὦ Ἱερὲ Ἀδελφόθεε, τὸν Κύριον καθικέτευε δωρήσασθαι ἡμῖν εἰρήνην, καὶ δεινῶν τὴν ἀπολύτρωσιν.

Ἅπαντες πιστοὶ, ὦ Θεάδελφε, κεκτήμεθα καταφυγήν σε καὶ ἀντίληψιν· διὸ θαῤῥοῦντες τῇ σῇ σκέπῃ καταφεύγομεν.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ἐκ γαστρὸς τῆς σῆς ἀναλάμψας τῆς Θεότητος ἥλιος, Παρθένε, τοὺς ἐν σκιᾷ φθορᾶς τε καὶ θανάτου ὄντας ἐφώτισε.

ᾠδὴ ΣΤ'. Ἱλάσθητί μοι Σωτήρ.

Ἱλάσθητι τοῖς οἰκτροῖς, Θεάδελφε ἁγιώτατε, καὶ ὕμνον ἱκετικὸν Κυρίῳ προσάγαγε ὑπὲρ τῶν ὑμνούντωνσε, καὶ παθῶν, Θεόπτα, νῦν τὸν τάραχον διάλυσον.

Πλουσίως λάμπων φωτὶ ἐπουρανίῳ, Θεάδελφε, καὶ σὺν Ἀγγέλοις ἀεὶ τὰς θείας δεχόμενος τῆς Τριάδος χάριτας, μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων τῶν ὑμνούντωνσε.

Ὄλβιος, Μάκαρ, ὡς σὺ ἐκλήθης ὄντως καὶ δίκαιος, οὕτω θεόπτα, τοὺς σὲ ἐν πίστει γεραίροντας ὀλβίους ἀπέργασαι καὶ δικαιοσύνης λαμπηδόσι φωταγώγησον. Θεοτοκίον.

Θανάτου καὶ τῆς φθορᾶς ἡ καθαιρέτις ὑπάρχουσα, τῆς ἀφθαρσίας πηγὴν τεκοῦσα τὸν Κύριον, Παρθένε Πανάχραντε, ἁγνῶς καὶ σωφρόνως τοὺς σοὺς δούλους ζῆν ἀξίωσον.

Διάσωσον ἀπὸ κινδύνων, ὦ Ἀδελφόθεε Μάκαρ, τοὺς τὴν σὴν μνήμην πιστῶς ἑορτάζοντας, καὶ αἴτει πταισμάτων τὴν λύσιν.

καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον. Ἦχος Β'.

Τὸν πρῶτον τῆς ἁγίας Σιὼν Ἱεράρχην, τὸν θεσπέσιον Θεάδελφον Ἰάκωβον, ὕμνοις καὶ ᾠδαῖς ἐτησίοις, εὐφημοῦντες οἱ πιστοὶ ἀνακράξωμεν· δώρησαι Ἀδελφόθεε, τοῖς δούλοις σου πταισμάτων τὴν ἄφεσιν, καὶ ῥῦσαι ἡμᾶς θείαις σου ἐντεύξεσι, κινδύνων ἀδοκήτων καὶ θλίψεων.

Εἶτα τὸ Προκείμενον. Ἦχος, δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ. . . .

Στίχος. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.



Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν πατρίδα αὐτοῦ καὶ ἐδίδασκε τοὺς ὄχλους κτλ. (Ζήτει Β'. τῆς Ζ'. ἑβδ).

Δόξα. Ταῖς τοῦ Θεαδέλφου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχος. Ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν προσόμοιον.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Ὁμοφρόνως ἅπαντες πιστοὶ Σιὼν τῆς ἁγίας, Ἱεράρχην πρώτιστον, τὸν σεπτὸν Ἰάκωβον ἀνυμνήσωμεν· οὗτος γὰρ ἅπασαν πλάνην ἐξήλεγξε, καὶ τὸ αἷμα τὸ πανόσιον αὐτοῦ ἐξέχεεν ὑπὲρ Ἰησοῦ τοῦ παντάνακτος. Τούτῳ οὖν προσερχόμενοι, πρέσβευε ῥυσθῆναι, Θεάδελφε, προσείπωμεν πίστει, ἐκ θλίψεως καὶ πάσης ἀπειλῆς τοὺς τὴν σὴν μνήμην γεραίροντας καὶ σὲ μακαρίζοντας.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν λαόνσου κτλ.

ᾠδὴ Ζ'. Παῖδες Ἑβραίων.

Ὥσπερ, Ἰάκωβε, ἐδείχθεις ἀστραπὴ φωτὸς τοῦ Τρισηλίου, φρυκτωροῦσα βροτοὺς καὶ πλάνης ῥυομένη, οὕτως ἡμᾶς ὁδήγησον εἰς τὸ φῶς τῆς ἀληθείας.

Λῦσον, Θεόπτα, τὰς πειρασμοὺ τῶν πταισμάτων, ταῖς θείαις σου πρεσβείαις· ὡς ἀήττητος γὰρ Ἀπόστολος καὶ Μάρτυς, πρὸς τὸν Σωτῆρα κέκτησαι παῤῥησίαν, Ἱεράρχα,

Ἵνα ςεφάνων Οὐρανίων, ἐπιτύχωμεν οἱ δοῦλοίσου, Θεόπτα, ἐκδυσώπει Θεὸν τὸν Κύριον τῆς δόξης, Ἰάκωβε θεσπέσιε, καὶ τῆς μοίρας τῶν Ἁγίων. Θεοτοκίον.

Γένος βροτῶν, ὦ Θεοτόκε, χειμαζόμενον τῶν θλίψεων τῷ σάλῳ, καὶ προστρέχον εἰς σὲ, τρικυμιῶν, λιταῖς σου, ῥῦσαι καὶ καθοδήγησον εὐφροσύνης εἰς λιμένα.

ᾠδὴ Η'. Τὸν Βασιλέα.

Ἄϋλον αἴγλην τῆς παναγίας Τριάδος, σὺ Θεόπτα, θεώμενος δυσώπει, τοῦ ἀπαλλαχθῆναι σοὺς δούλους ἐκ κινδύνων.

Ἱεραρχίας μύρῳ χρισθεὶς, Ἱεράρχα, τὸν Σωτῆρα δωρήσασθαι δυσώπει, τοῖς σὲ ἀνυμνοῦσι κάθαρσιν τῶν πταισμάτων.

www.tezaurliturgic.ro



Νομοθεσίαις ταῖς τοῦ Σωτῆρος προσέχειν, ἡμᾶς πάντας ἀξίωσον, λιταῖς σου, Ἰάκωβε μάρτυς προστάτα Ὀρθοδόξων.

Θεοτοκίον.

Ὡς θεία δρόσος ἑωθινή, Θεοτόκε, νῦν ἐνστάζουσα ἡ σὴ εὐφροσύνη, κάμινον σβεννύει παθῶν, τῶν σὲ ὑμνούντων.

ᾨδὴ Θ'. Κυρίως Θεοτόκον.

Μνήσθητι, Θεόπτα, ὡς συμπαθεὶς σῶν δούλων, ἐν Οὐρανῷ τῷ Θεῷ παριστάμενος, καὶ τῶν δεινῶν ἡμῖν λύσιν ταχέως δώρησαι.

Ἀπαύστως τὸν Σωτῆρα ἱκέτευε, Θεόφρον, ὑπὲρ τῶν πίστει ὑμνούντων, Ἰάκωβε, τὴν παναγίαν σου μνήμην, καὶ ῥῦσαι θλίψεων.

Κῆρυξ ὥσπερ, Μάκαρ, ὤφθης ἀληθείας, οὕτως ἡμᾶς τοὺς τοὺς τιμῶντάς σε δώρησαι, μεγαλοφώνως κηρύττειν τὰ θεῖα δόγματα.

Ἀγάλλονται δεόντως, πάντες Ἱεράρχαι, ἐν τῇ σῇ μνήμῃ, Ἰάκωβε ἔνδοξε· οἷς συμπρεσβεύων Θεῷ σοὺς δούλους περίσωζε.

Θεοτοκίον.

Ῥανίσιν οἰκτιρμῶν σου ἀπόπλυνον τὸν ῥύπον τῆς ταλαιπώρου ψυχῆς μου, Θεόνυμφε, τὰς τῶν παθῶν ἀναβλύσεις μου ἀναστέλλουσα.

Τὸ ἄξιόν ἐστι καὶ τὰ παρόντα Μεγαλυνάρια

Λύσιν τῶν πταισμάτων μου παρασχεῖν, Ἰάκωβε Μάκαρ, τὸν Σωτῆρα ἐκδυσωπῶν μὴ παύσῃ, καὶ νόσων τὴν ἴασιν ποικίλων, δωρῆσαι τῷ δεόντως δοξολογοῦντί σε.

Θεάδελφε Ἰάκωβε, καὶ Χριστοῦ Μαθητὰ καὶ Μάρτυς, ἱκετεύομέν σε πιστῶς· ῥῦσαι σαῖς πρεσβείαις ἡμᾶς ἀπὸ παντοίων ἀσθενειῶν, κινδύνων καὶ πάσης θλίψεως.

Καὶ τό, Πᾶσαι τῶν Ἀγγέλων.

Τρισάγιον. Καὶ τὸ Τροπάριον. Ἦχος Δ'.



Ὡς τοῦ Κυρίου Μαθητής, ἀνεδέξω Δίκαιε τὸ Εὐαγγέλιον, ὡς Μάρτυς ἔχεις τὸ ἀπαράτρεπτον, τὴν παῤῥησίαν ὡς Ἀδελφόθεος, τὸ πρεσβεύειν ὡς Ἱεράρχης. Ἱκέτευε Χριστὸν τὸν Θεόν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὴν Ἀπόλυσιν ψάλλομεν τὸ Προσόμοιον.

Ὅτε ἐκ τοῦ ξύλου Σε νεκρόν.

Δεῦτε τὸν Ἀπόστολον Χριστοῦ, δεῦτε Ἱεράρχην τὸν Θεῖον καὶ Ἀδελφόθεον, πάντες εὐφημήσωμεν καθικετεύοντες· ὦ Ἰάκωβε πάνσοφε, ῥῦσαι ταῖς λιταῖς σου, πάσης ἡμᾶς θλίψεως, καὶ περιστάσεως νόσων καὶ δεινῶν ἀδοκήτων, ἵνα σε ἀεὶ ὡς προστάτην καὶ στεῤῥὸν ὑπέρμαχον δοξάζωμεν.

ΤΕΛΟΣ.

---

# ΕΤΕΡΟΣ
## ΕΙΣ ΤΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ
# ΜΥΡΟΒΛΗΤΗΝ ΔΗΜΗΤΡΙΟΝ·
## ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τόν, Εὐλογητόν, τό, Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΕΝ τῷ πανσέπτῳ καὶ ἁγίῳ Ναῷ σου συναθροισθέντες οἱ Πιστοὶ ὁμοφρόνως, ἐκλιπαροῦμεν πόθῳ σε, Δημήτριε, ῥῦσαι ταῖς πρεσβείαις σου πειρασμῶν καὶ κινδύνων, ὅπως μεγαλύνωμεν, τοὺς σεπτούς σου ἀγῶνας, οὕσπερ ὑπέστης στεῤῥῶς ὑπὲρ Χριστοῦ, στεφανηφόρε ὁπλῖτα Δημήτριε.

Δόξα· Καὶ νῦν Θεοτοκίον. Οὐ σιωπήσωμεν....

Εἶτα ὁ Ν'. καὶ ὁ κανὼν οὗ ἡ Ἀκροστιχίς.

Τὸν ἀείφωτον Δημήτριον σέβω.
Ἐν δὲ τοῖς Θεοτοκίοις, Σεραφείμ.

www.tezaurliturgic.ro



### ᾨδὴ Α'. ἦχος πλ. Δ'. Ὑγρὰν διοδεύσας.

Τὸν πάντων Δεσπότην καὶ ποιητὴν ἱλέωσαι, Μάρτυς, ἐλεῆσαί με καὶ δεινῆς ἐπηρείας, Μάκαρ, ῥύσασθαί με, τὸν προσφυγόντα πιστῶς ἐν τῇ σκέπῃ σου.

Ὀπταίσμασι στενούμενος χαλεποῖς, καὶ πλήθει κινδύνων, πιεζόμενος ἐκβοῶ· Δημήτριε Μάκαρ, πρόσθητί μοι, τῆς συνεχούσης ἀνάγκης καὶ λύτρωσαι.

Νομίμως ἀθλήσας ὑπὲρ Χριστοῦ, ἀνύστακτος φύλαξ ἐχαρίσθης Χριστιανοῖς· γενήθητι σκέπη καὶ προστάτης, τῶν προσφυγόντων σοι, θεῖε Δημήτριε. Θεοτοκίον.

Σὺ σώζουσα πάντας τοὺς γηγενεῖς, ἀεί τε κινδύνων λυτρουμένη τῶν χαλεπῶν· σῶζε νῦν ἐκ βλάβης σοὺς οἰκέτας, κατακρατούσης ἡμᾶς, Θεονύμφευτε.

### ᾨδὴ Γ'. Σὺ εἶ τὸ στερέωμα.

Ἄνωθεν τοῖς δούλοις σου, τὴν σὴν βοήθειαν δώρησαι, σώζων ἡμᾶς, Δημήτριε Μάκαρ, ἐκ κινδύνων καὶ θλίψεων.

Ἔντιμος γεγένησαι, τὸ τοῦ Χριστοῦ τιμῶν ὄνομα· διὸ βοῶ λύτρωσαί με πάσης ἀσθενείας, πρεσβείαις σου.

Ἰάματα ἄφθονα, ἡ σὴ Εἰκὼν ἀναβρύουσα, παντοδαπὰς παύει τῶν ἀνθρώπων, ἀσθενείας, Δημήτριε. Θεοτοκίον.

Ἐπίσκεψαι Ἄχραντε, νοσηλευόμενον δοῦλόν σου, καὶ τῆς δεινῆς ἀλγηδόνος ῥῦσαι, καὶ παντοίας με θλίψεως.

### ᾨδὴ Δ'. Εἰσακήκοα Κύριε.

Φωτοφόρε Δημήτριε, ὀλισθήσας πάθεσι κατενήνεγμαι· ἔγειρόν με κατακείμενον ἐν βυθῷ κακίας καὶ ἀπογνώσεως.

Ὦ Δημήτριε κέκτημαι, σὲ φρουρόν μου θεῖον καὶ καταφύγιον πρόσθητί μοι μὴ παρίδῃς με ἐν ἡμέρᾳ θλίψεώς μου καὶ σῶσόν με.



Τῶν Μαρτύρων τὸ καύχημα, τὸν ἐμὸν προστάτην σε, ὦ Δημήτριε, δυσωπῶ μὴ καταλίπῃς με, ἐκ δεινῶν καὶ νόσων ἀπολλύμενον. Θεοτοκίον.

Ῥῶσιν δίδου μοι, Δέσποινα, καὶ τὴν σηπεδόνα ψυχῆς μου ξήρανον, καὶ κινδύνων με ἐξάρπασον, καὶ τῆς κατεχούσης ἀπογνώσεως.

### ᾨδὴ Ε'. Φώτισον ἡμᾶς.

Ὁ υἱὸς τῆς ἡμέρας, ὤφθης ἐν καρδίᾳ σου ἔχων φῶς ἄδυτον, δι' οὗ σκοτομήνη τῆς ἀπάτης μειοῦται καὶ ἅπασι, δαδουχεῖται γνῶσις θείου φωτός· διὸ βοῶ σοι φώτισόν με, Δημήτριε ἔνδοξε.

Νοερῶς ἱκετεύω, σὲ νυκτὶ καὶ ἡμέρᾳ, Δημήτριε ἔνδοξε· ἐν παντί με τόπῳ καὶ καιρῷ ἱκεσίαις σου φύλαξον, ἀπὸ πάσης βλάβης, νόσων παντοίων καὶ κινδύνων, τὸν εἰς σὲ τὴν ἐλπίδα μου θέμενον.

Δεσμευθεὶς ἀῤῥωστίᾳ, τῇ ἐπισκοπῇ τῇ σῇ ταύτης νῦν λέλυμαι· τῶν φρικτῶν δὲ πόνων κουφισμὸν ὑπεδέχθην ἀδόκητον ὑπὲρ ὧν δοξάζων εὐχαριστῶ καὶ μεγαλύνω τὴν θερμήν σου πρεσβείαν, Δημήτριε. Θεοτοκίον.

Ἀπειρόγαμε Κόρη, ὅλον με μορφοῦται ἐκ σοῦ ὁ Πλάστης ὃν ἀεὶ δυσώπει, οἰκτειρῆσαι λαὸν ἁμαρτάνοντα, καὶ λυτρῶσαι Κόσμον, νόσων δεινῶν καὶ πάσης βλάβης, τὸν εἰς σὲ, Θεοτόκε, ἐλπίζοντα.

### ᾨδὴ ΣΤ'. Τὴν δέησιν ἐκχεῶ.

Ἡγίασε, ὦ Δημήτριε Μάρτυς, σὲ ὁ Πάνσοφος Θεὸς, ὃν δυσώπει, ἁγιασμὸν τοῖς σοῖς δούλοις ἐκπέμψαι, καὶ φωτισμὸν καὶ πταισμάτων τὴν λύτρωσιν· προστάτης γὰρ παρὰ Θεοῦ, ἐδωρήθης ἡμῖν ἀκαταίσχυντος.

Μακάριον ἀρεταῖς με ὑπάρχειν, πολυπόθητε εὐδόκησον Μάρτυς, σὲ δυσωπῶ τὸν καλόν μου προστάτην, καὶ πίστει κράζω σοι, Μάκαρ Δημήτριε· γενήθητί μοι βοηθὸς καὶ παντοίας ἀνάγκης με λύτρωσαι.

www.tezaurliturgic.ro



**Η** πάνσεπτος καὶ ἁγία Εἰκών σου τοῦ νοός μου θεραπεύει τὰ πάθη, σωματικάς ἀλγηδόνας τε παύει καὶ τῶν Δαιμόνων ἐπήρειαν, Ἅγιε· δεῖξόν με οὖν ταῖς σαῖς λιταῖς τῶν δεινῶν τούτων πάντων ὑπέρτερον. Θεοτοκίον.

**Φ**άνηθι νῦν ἐν κινδύνοις προστάτης, χαριτόβρυτε Ἁγία Παρθένε, τῷ ταπεινῷ καὶ ἀχρείῳ σου δούλῳ, καὶ θεραπείαν τοῖς νόσοις μου δώρησαι, καὶ κόπασον τὸ χαλεπὸν, τῶν παθῶν μου κλυδώνιον δέομαι.

**Π**ρεσβείαις σου ἐκ περιστάσεως πάσης λύτρωσαι, Ἀθλοφόρε, τοὺς ἐπικαλουμένους σε Μάρτυς, Δημήτριε, καὶ ὑμνοῦντάς σου τὰ θαυμάσια ἆθλα.

Καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β΄.

**Π**ροστάτα τῶν Πιστῶν ἑτοιμότατε, καὶ ἱκέτα πρὸς Θεὸν ἀκαταίσχυντε, μὴ παρίδῃς δούλων σου δεήσεων φωνὰς, ἀλλὰ πρόφθασον ὡς συμπαθὴς, εἰς τὴν βοήθειαν ἡμῶν τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον ὡς οἰκτίρμων, ἱκέτευσον τῷ Κυρίῳ, ὅπως ῥυσθῶμεν τῶν δεινῶν, Δημήτριε ἔνδοξε.

καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δ΄.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. Τρίς.

Στίχος. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν...

**Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.**

Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα Μαθητὰς αὐτοῦ κτλ, (Ζήτει Νοεμβρίου 1).

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις. . . .

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. . . .

Στίχος. Ἐλεῆμον ἐλέησόν με ὁ Θεός... Καὶ τὸ παρόν.

Ἦχος πλ. β΄. Μὴ ἐγκαταλίπῃς με. . . .

**Γ**νώμῃ ὀλισθήσαντα, καὶ δουλωθέντα τῷ πλάνῳ, ἀπάτῃ πανένδοξε, πρὸς τὴν ὑπερθαύμαστον προστασίαν σου, καὶ θερμὴν δέησιν, Δημήτριε Μάκαρ, καταφεύγω ὁ πανάθλιος, δεσμοῦ με



λύτρωσε τῶν πειρατηρίων καὶ θλίψεων, καὶ σῶσόν με πρεσβείαις σου τῶν δαιμονικῶν ἐπιθέσεων· ἵνα σὲ δοξάζω, καὶ πόθῳ ἀνυμνῶ καὶ προσκυνῶ, τὴν σὴν Εἰκόνα πηγάζουσαν ἄπειρα ἰάματα.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ.

ᾨδὴ Ζ΄. Θεοῦ συγκατάβασιν.

**Τ**ῆς πλάνης τὴν ζόφωσιν μειῶν σὺ ὤφθης σαφῶς, Δημήτριε, διαυγέστατον ἄστρον, διὸ ψυχήν μου γνώμῃ τυφλώττουσαν, θεογνωσίας φωτὶ καταλάμπρυνον, ἀποδιώκων τῆς ἀγνωσίας ἀχλύν.

**Ρ**ανίδα ἰάσεων, τῇ ταπεινῇ μου ψυχῇ δώρησαι, Ἅγιε, καὶ τὰ σώματος πάθη ταῖς ἱκεσίαις σου ἐξαφάνισον, ὦ ἀθλοφόρε Δημήτριε ἔνδοξε, ἵνα δοξάζω, τιμῶ καὶ ἀνυμνῶ σε ἀεί.

**Ι**δού σοι πεπλήρωκε, τὰς ὑποσχέσεις Χριστὸς ὁ Κύριος πρὸς αὐτὸν ἀνυψώσας τῇ ἐκμιμήσει τῶν παθημάτων αὐτοῦ, ᾧ παρεστὼς νῦν, Δημήτριε, πρέσβευε, ὑπὲρ ἡμῶν τῶν πιστῶς ὑμνολογούντων σε. Θεοτοκίον.

**Ε**λέησον, Πάναγνε, τὸν πλέον πάντων ἀνθρώπων πταίσαντα· οὐκ ἔστι γὰρ ὡς οὕτω παρώργησε τὸν ποιήσαντα, ζήσας ἀσώτως ὡς ἐγὼ ὁ ἄθλιος· διὸ βοῶ δωρεὰν, Δέσποινα, σῶσόν με.

ᾨδὴ Η΄. Ἑπταπλασίως κάμινον. . .

**Ο** Ἀσωμάτων τάγμασι, καὶ Μαρτύρων στρατεύμασι θρόνῳ τοῦ Θεοῦ παρεστηκὼς, Δημήτριε, καὶ δόξης καὶ χάριτος καὶ φωτισμοῦ πληρούμενος, λῦσον τῶν ἡμῶν ἁμαρτημάτων τὸν ζόφον τῶν πίστει προσκυνούντων τὴν σεπτὴν καὶ τιμίαν καὶ πλήρη χαρισμάτων ἁγίαν σου Εἰκόνα.

**Ν**ίκην λαβὼν ὁ δείλαιος ἡδονῶν τῷ ἐκπτώματι, ἔρριμαι εἰς γῆν, θέαμα θρήνων ἄξιον, Παμμάκαρ Δημήτριε, νῦν ἐπ' ἐμὲ ἐπίβλεψον, δεῖξον ἐν ἐμοὶ τὴν τῶν θαυμάτων σου χάριν, βροτῶν ἰδέτω γένος, ὅτι σύ μου προστάτης καὶ σώζεις ἐκ θανάτου τὸν σὸν ἀχρεῖον δοῦλον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Σὺ Μαρτυρίου κάλλεσιν, ὦ Δημήτριε ἔνδοξε, κατεστολισμένος καὶ τοῖς ἄθλων στίγμασι, πορφύραν ἐξ αἵματος, ἐνδεδυμένος τῆς σῆς σφαγῆς, τῷ Θεῷ παρέστης σὺν Ἀγγέλων χορείαις καὶ τάξεσι Μαρτύρων, ὃν ἀεὶ ἐκδυσώπει, κοσμῆσαι σωτηρίου ἡμᾶς περιβολαίῳ. Θεοτοκίον.

Ἴασον ταῖς πρεσβείαις σου, καὶ παθῶν ῥῦσαι, Δέσποινα, πλήρωσον χαρᾶς πνευματικῆς τὸν δοῦλόν σου, τῷ κύκλῳ στεφάνωσον τῶν ἀρετῶν, Πανάμωμε, ἔμπλησον παντοίας δωρεῶν μετουσίας, καὶ μέτοχόν με δεῖξον Οὐρανῶν Βασιλείας· κἂν μου ὑπὲρ ἀξίαν τὸ αἰτηθὲν ὑπάρχῃ.

## ᾨδὴ Θ΄. Ἐξέστη ἐπὶ τούτῳ...

Ἐσκήνωσας ταῖς ἄνω θείαις Αὐλαῖς, τὸν μισθὸν ἀπολαύσας τῶν πόνων σου· πρόστηθι οὖν πάντοτε, θεόφρον, τοῦ σοῦ λαοῦ, τὴν Πόλιν ταύτην φύλαττε, σῶζε τοὺς προστρέχοντάς σοι πιστῶς, καὶ βράβευσον εἰρήνην, πάσῃ τῇ Οἰκουμένῃ, κἀμοῦ τοῦ σοῦ ἱκέτου μέμνησο.

Βραβείων λαμπροτάτων ἀξιωθείς, ἐκ Θεοῦ, Ἀθλοφόρε Δημήτριε, ἀποσοβεῖς Δαίμονας καὶ νόσους παντοδαπάς, καὶ πειρασμοὺς καὶ θάνατον, πᾶσι τὰ αἰτήματα χορηγῶν· διὸ κἀμοὶ παράσχου εἰρήνην καὶ ὑγείαν, καὶ τῶν πταισμάτων ἀπολύτρωσιν.

Ὡς ἔχων ἀναφαίρετον θησαυρόν, τὴν σεπτήν σου Εἰκόνα, Δημήτριε, ὁ σεβαστὸς καὶ θεῖος Ναός σου πάντας Πιστούς, καταπλουτίζει πάντοτε ταῖς τῶν χαρισμάτων διανομαῖς. Διὸ κἀγὼ τῶν θείων τύχοιμι δωρεῶν σου, ὁ προσφυγὼν τῇ θείᾳ σκέπῃ σου. Θεοτοκίον.

Μαρία Θεοτόκε ἐπιτυχεῖν, τῆς τρυφῆς Παραδείσου ἀξίωσόν, τὸν ἐπὶ γῆς μόνην σε ἐλπίδα μετὰ Θεόν, μόνην πρεσβείαν ἔχοντα, μόνην προστασίαν, μόνην ἰσχύν. Διὸ μὴ ὑπερίδῃς τολμῶντα ταῦτα λέγειν, Δέσποινα σῶσόν με τὸν δοῦλόν σου.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Καὶ τὰ παρόντα Μεγαλυνάρια.



Φρούρει τοὺς τιμῶντάς σε Ἀθλητά, καὶ εὐσεβοφρόνως προσκυνοῦντας τὴν σὴν Μορφήν, καὶ ῥῦσαι κινδύνων καὶ πάσης ἄλλης βλάβης, Δημήτριε τρισμάκαρ, ταῖς ἱκεσίαις σου.

Χαίροις τῶν Μαρτύρων ἡ καλλονή, ὄντως Ἀθλοφόρε Μυροβλύτα, καὶ τῶν Πιστῶν, λιμήν τε καὶ τεῖχος, προστάτης τε καὶ σκέπη, Δημήτριε Παμμάκαρ, σκέπε τοὺς δούλους σου.

Φύλαττε σοὺς δούλους, ὦ Ἀθλητὰ Μάρτυς Μυροβλύτα, τοὺς τιμῶντάς σε εὐλαβῶς, πίστει τε καὶ πόθῳ τελοῦντάς σου τὴν Μνήμην, ἀπὸ παντοίας βλάβης καὶ περιστάσεως.

Δέξαι, ὦ Δημήτριε Ἀθλητά, λιτὰς τῶν σῶν δούλων, ἃς ἐκ στόματος ῥυπαροῦ, καὶ γλώττης βεβήλου, προσάγομεν αἰτοῦντες, ἁμαρτημάτων λύσιν ταῖς ἱκεσίαις σου. Θεοτοκίον.

Δέσποινα δυσώπει τὸν σὸν Υἱὸν ἀξίους γενέσθαι Βασιλείας τῶν Οὐρανῶν, τοὺς πίστει τιμῶντας τὴν ἁγίαν Εἰκόνα τοῦ θείου Δημητρίου τοῦ σοῦ θεράποντος.

Τὸ Τρισάγιον. Καὶ τροπάριον. Ἦχος Γ΄. διορθωθὲν ὑπὸ τοῦ ἀειμνήστου Νικολάου Λογάδου.

Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις, σὲ ὑπέρμαχον ἡ Οἰκουμένη, Ἀθλοφόρε τὰ ἔθνη τροπούμενον. Ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν, ἐν τῷ σταδίῳ θαῤῥύνας τὸν Νέστορα, οὕτως ἅγιε Μεγαλομάρτυς Δημήτριε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, καθελεῖν τὸ φρύαγμα τοῦ ἐχθροῦ, καὶ ἡμᾶς ἐνθαῤῥῦναι καὶ δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Εἶτα μνημονεύει ὁ Ἱερεύς.

Ἐν δὲ τῇ ἀπολύσει ψάλλεται τὸ παρὸν ἦχος Β΄.

Ὅτε ἐκ τοῦ ξύλου σὲ νεκρόν...

Μάρτυς Ἀθλοφόρε τοῦ Χριστοῦ, τοὺς ἐν διαφόροις ἀνάγκαις, σῶζε πρεσβείαις σου, πάσης περιστάσεως ἀπολυτρούμενος καὶ διώκων ψυχόλεθρον, δεινὴν ἀθυμίαν, χάριν δὲ καὶ ἔλεος ἡμῖν αἰτούμενος, ὅπως ταῖς λιταῖς σου σωθέντες, χαίροντες γεραίρωμεν πάντες, τοὺς σεπτοὺς ἀγῶνάς σου, Δημήτριε.

ΤΕΛΟΣ.

www.tezaurliturgic.ro



# ΕΤΕΡΟΣ

## ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΚΑΙ ΘΑΥΜΑΣΤΟΥΣ ΑΝΑΡΓΥΡΟΥΣ

## ΚΟΣΜΑΝ ΚΑΙ ΔΑΜΙΑΝΟΝ·

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΟΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητόν, τό, Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος· καὶ τὸ Τροπάριον Ἦχος Δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ

ΤΟΥΣ ἐκ Θεοῦ παρειληφότας τὴν χάριν, τοῦ ἰατρεύειν ἀναργύρως τὰς νόσους, Δαμιανὸν τὸν ἔνδοξον καὶ θεῖον Κοσμᾶν, πάντες ἱκετεύσωμεν πρὸς αὐτοὺς ἐκβοῶντες· ῥύσασθε, Ἀνάργυροι, ἀδοκήτων κινδύνων, τοὺ μετὰ πόθου πάντοτε ὑμᾶς ἀνευφημοῦντας πιστῶς καὶ γεραίροντας.

Δόξα. καὶ νῦν. Θεοτοκίον Οὐ σιωπήσομεν...

Ὁ Ν΄. καὶ ὁ κανών. Ἦχος Πλ. δ΄. ἔχων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις. Σεραφείμ.

ᾨδὴ Α΄. Ἁρματηλάτην Φαραώ...

Τοὺς τοῦ Θεοῦ δεδωρημένους χάριτι, πᾶσιν ἡμῖν ἀληθῶς, Δαμιανὸν θεῖον καὶ Κοσμᾶν τὸν ἔνδοξον, τῶν εὐσεβῶν στηρίγματα, Ἰατροὺς Ἀναργύρους, ὑμνολογήσωμεν σήμερον, καὶ πιστῶς αὐτοὺς ἱκετεύσωμεν.

Οἱ τοῦ βυθοῦ τῶν νοσημάτων κλύδωνι τρικυμιζόμενοι, πάθεσί τε πλείστοις ἀεὶ χειμαζόμενοι, τῷ γαληνῷ προσέλθωμεν τῶν σεπτῶν Ἀναργύρων λιμένι, χαίροντες σήμερον ὅπως τῶν δεινῶν λύσιν λάβωμεν.

Ταῖς ὑπερφώτοις ἀρεταῖς ἐδείχθητε, θεῖοι Ἀνάργυροι, Πνεύματος ἁγίου Οἶκος τε καὶ Τέμενος· πηγὴν οὖν ἀνεξάντλητον τὸν σεπτὸν τοῦτον Οἶκον, θείων ἰάσεων δείξατε πᾶσι, ταῖς ὑμῶν ἐπισκέψεσι. Θεοτοκίον.



Σκέπη γενοῦ πρὸς τὸν βυθῷ με Πάναγνε, κατολισθήσαντα, παθῶν ἀνοσίων, καὶ πρὸς Σὲ τὴν εὔσπλαγχνον, τὴν Θεοτόκον Δέσποιναν, καταφεύγοντα πίστει, καὶ σὺ βοῶντα ἐν δάκρυσι· σῶσόν με, Ἁγνή, ἱκεσίαις σου.

ᾨδὴ Γ΄. Οὐρανίας Ἀψῖδος...

Ἀναργύρων τῶν θείων σεπτὴ Δυὰς λάμψεσι, σὺ καταυγασθεῖσα τῆς Τρισηλίου Θεότητος, τοὺς σοὶ προστρέχοντας ῥῦσαι, εὐχαῖς σου, κινδύνων καὶ τῇ αἴγλῃ φαίδρυνον θείων ἰάσεων.

Συνημμένοι χορείαις Ἀγγελικαῖς, Πάνσεπτοι, καὶ Θεοῦ τῷ θρόνῳ περιχαρῶς παριστάμενοι, τοὺς ὑμᾶς μέλποντας, καὶ τῇ ὑμῶν ἀντιλήψει πίστει προσπελάζοντας, δεινῶν λυτρώσατε.

Τῶν ψυχῶν καὶ σωμάτων τὰς ἀῤῥωστίας, Ἀνάργυροι πάντων τῶν προθύμως νῦν προσιόντων ὑμῖν ἰάσασθε, διασκεδάζοντες καὶ τῶν παθῶν τὴν ὁμίχλην, ταῖς θερμαῖς πρὸς Κύριον ὑμῶν δεήσεσι. Θεοτοκίον.

Εὐσυμπάθητον μόνη Θεὸν Σωτῆρα κυήσασα, Δέσποινα τοῦ Κόσμου, τοῦτον ἀεὶ καθικέτευε, βίον πρὸς κρείττονα τὸν ἀνοήτοις μερίμναις, δεινῶς κυλινδούμενον, βαδίζειν πάντοτε.

ᾨδὴ Δ΄. Τῶν παθῶν μου τὸν τάραχον...

Ἀπαστράπτοντες θαύμασιν, οἱ κλεινοὶ Ἀνάργυροι, τῶν ἰάσεων, ἡμᾶς αἴγλῃ καταυγάζουσι, καὶ τὰ σκότος λύουσι τῶν παθῶν ἡμῶν.

Ἐκ Θεοῦ ἀνεδείχθητε, εὐκλεεῖς Ἀνάργυροι, ἰατροὶ παθῶν· ὅθεν πάντας ἐπισκέψασθε τοὺς θερμῶς τῇ σκέπῃ ὑμῶν προστρέχοντας.

Ῥῶσιν θείαν μοι βράβευσον, καὶ τῶν λυπηρῶν τὴν ἀνάψυξιν, ὦ Δυὰς ἀειμακάριστε, Ἀναργύρων θείων, ταῖς πρεσβείαις σου. Θεοτοκίον.

www.tezaurliturgic.ro



Ρῶσιν ἄνοσον δίδου μοι, καὶ πάθη ἀνίατα καταπράϋνον, εὐσπλαγχνίας τῇ μοτώσει σου, ὡς Θεὸν τεκοῦσα ἀπειρόγαμε.

ᾠδὴ Ε΄. Ἵνα τί με ἀπώσω...

Ταῖς σεπταῖς λαμπηδόσι, σαφῶς δᾳδουχούμενοι πάντας φωτίζετε, παθῶν καὶ δαιμόνων καὶ κινδύνων τὸ σκότος διώκοντες, καὶ τὴν ῥῶσιν πᾶσιν, ὑμῖν τοῖς πίστει τε καὶ πόθῳ προσιοῦσι, δωρεῖσθε, Ἀνάργυροι.

Τοῖς νοσοῦσι τὴν ῥῶσιν, παθῶν καὶ κινδύνων τὴν ἀπολύτρωσιν, ἐπιχορηγοῦντες ἀναργύρως, Ἀνάργυροι ἔνδοξοι, ὤφθητε προστάται μετὰ Θεὸν, τοῖς εὐσεβέσιν, ἀντιλήπτορές τε καὶ πρόμαχοι.

Ὡς θεόῤῥυτοι βρύσεις, τοῖς Πιστοῖς πηγάζετε ὕδωρ ἰάσεων, τῆς ψυχῆς τὰς νόσους καὶ τοῦ σώματος παύοντες, Ἅγιοι, διὸ καὶ τῶν πίστει ὑμᾶς τιμώντων ἀσθενείας καὶ τὰ πάθη, λιταῖς ἡμῶν πλύνατε. Θεοτοκίον.

Ἀπειρόγαμε Κόρη, Χερουβεὶμ ὑπερτέραν εἰδώς σε, Πάνσεμνε, τῆς ψυχῆς μου πάθη, τὰ δυσώδη θεράπευσον δέομαι, καὶ πυρός με ῥῦσαι τοῦ φοβεροῦ, σαῖς ἱκεσίαις, καὶ πρὸς βίον ὁδήγησον ἄφθαρτον.

ᾠδὴ ΣΤ΄. Ἱλάσθητί μοι.

Κοσμᾶς καὶ Δαμιανὸς, οἱ τῶν βροτῶν ἀντιλήπτορες, καὶ εὐεργέται σεπτοὶ, πιστῶς εὐφημείσθωσαν ἱεροῖς ἐν ᾄσμασι· καὶ γὰρ ἀεννάως ἀναργύρως θεραπεύουσιν.

Ἀμπέλου τῆς νοητοῦ, ὡς ὄντες θεῖα βλαστήματα, τῶν ἰαμάτων ἡμῖν οἶνον ἐνσταλάξατε πληροῦντες Ἀνάργυροι, τοὺς ἐν κατηφείᾳ, εὐφροσύνης τε καὶ τέρψεως.

Τὰ θράση τῶν δυσμενῶν καὶ τῶν παθῶν τὰ μιάσματα, ὦ Ἰατροὶ εὐκλεεῖς, σοφῶς ἀπελαύνοντες, ἐφαπλοῦτε ἅπασι, τοῖς ἐν τοῖς κινδύνοις, τὴν ἐπίσκεψιν, λιταῖς ὑμῶν. Θεοτοκίον.

Φωστήρων τὸν ποιητὴν καὶ παντὸς Κόσμου κυήσασα, σαρκός μου τοὺς φοβεροὺς ἰάτρευσον μώλωπας, καὶ ψυχῆς τὰ τραύματα, καὶ τὰς ἁμαρτίας σὺ ἐξάλειψον, Πανάχραντε.



Διάσωσον, Δυὰς σεπτὴ φωταγωγῶν Ἀναργύρων, ἀπὸ τῶν νόσων, κινδύνων καὶ θλίψεων, τοὺς γεραίροντας τὴν ὑμῶν θείαν Μνήμην.

καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον. Ἦχος Β΄.

Οἱ τὴν χάριν λαβόντες τῶν ἰαμάτων, ἐφαπλοῦτε τὴν ῥῶσιν τοῖς ἐν ἀνάγκαις, Ἰατροὶ θαυματουργοὶ ἔνδοξοι· ἀλλὰ τῇ ὑμῶν ἐπισκέψει καὶ τῶν πολεμίων τὰ θράση καταβάλλετε, τὸν Κόσμον ἰώμενοι ἐν τοῖς θαύμασι.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δ΄.

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Στίχος. Προωρώμην τὸν Κύριον ἐνώπιόν μου....

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα Μαθητὰς αὐτοῦ κτλ. (Ζήτει Νοεμβρ. 1).

Δόξα. Ταῖς τῶν Ἀναργύρων Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχος. Ἐλεῆμον, ἐλέησόν με. Καὶ τὸ προσόμοιον.

Ἦχος Πλ. Β΄. Ὅλην ἀποθέμενοι.

Ὅλην εἰσοικίσασα ἐν ἑαυτῇ τὴν Τριάδα, ξυνωρὶς ἡ πάνσεπτος, Κοσμᾶς καὶ Δαμιανὸς οἱ ἀοίδιμοι, ὡς μαστοὶ προχέουσι τῶν θαυμάτων ῥεῖθρα, καὶ τὴν φλόγα τῶν παθῶν ἡμῶν πίστει δροσίζουσιν, ἀχρύσως τὴν ῥῶσιν δωρούμενοι, καὶ βρώμασιν ἐκτρέφουσι θείοις τοὺς πιστοὺς τῶν ἰάσεων· ἅπαντες οὖν τούτους ὑμνήσωμεν πιστῶς καὶ εὐσεβῶς, χαρμονικοῖς μελῳδήμασιν, ὡς Θεοῦ θεράποντας.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν λαόν σου κτλ.

ᾠδὴ Ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας...

Ἀναργύρων τῶν θείων, τὴν πανίερον Μνήμην Πιστοὶ γεραίροντες, δεόμεθα τῆς θείας αὐτῶν ἐπαπολαῦσαι, ἀῤῥωγῆς τε καὶ χάριτος, καὶ οἱ νοσοῦντες δεινῶς ταχείας ὑγιείας.

www.tezaurliturgic.ro



Ρωστικῇ τοῦ πανσέπτου Πνεύματος τῇ χάριτι ἐνδυναμούμενοι, τὴν ῥῶσιν ἀσθενοῦσι, Κοσμᾶ καὶ Δαμιανὲ συμπαθῶς χορηγήσατε, καὶ τοῖς τιμῶσιν ὑμᾶς δωρήσασθε ὑγείαν.

Τῶν σεπτῶν Ἀναργύρων ὁ Ναὸς ὡραιώθη πολλοῖς ἐν θαύμασιν, ἐν ᾧ τῶν προσιόντων ἐν πίστει καὶ ἐλπίδι, αἱ ἀσθένειαι παύουσι, καὶ τῶν δαιμόνων φρικταὶ ἐπήρειαι ἡττῶνται.

Θεοτοκίον.

Εὐσπλαγχνίᾳ σου λῦσον, τὸν δεσμὸν τῶν κακῶν μου καὶ ψυχικῶν μολυσμῶν, συνδέουσα στοργῇ με, Θεοῦ τοῦ γεννηθέντος, ἐκ νηδύος σου, Ἄχραντε, καὶ ταῖς θερμαῖς σου λιταῖς, οἴκτειρόν με καὶ σῶσον.

## ᾨδὴ Η'. Τὸν Βασιλέα.

Ὕμνοις ἐνθέοις τὴν φωτοφόρον Δυάδα, ἀνυμνήσωμεν ἀπαύστως, βοῶντες· φωτισμοῦ τοῦ θείου μετάδος ἡμῖν πᾶσιν.

Ῥώμην ὑγείας τῆς ψυχῆς ἐμποιοῦντες, τοῖς Πιστοῖς, καὶ τῶν σωμάτων ἰᾶσθε πάθη, τῇ δεήσει ὑμῶν, καὶ ἀσθενείας.

Δυὰς ἡ θεία ἐν Οὐρανῷ θείας δόξης ἐντρυφῶσα, τοῖς προστρέχουσι πίστει, αὐτῆς τῇ Εἰκόνι ἰάσεις δαψιλεύει.

Θεοτοκίον.

Νόσων παντοίων, ἐπιβουλῶν καὶ κινδύνων, τὸν σὸν δοῦλον καὶ παθῶν ἐξελοῦ με, Δέσποινα, λιταῖς σου, ἵνα σε μακαρίζω.

## ᾨδὴ Θ'. Κυρίως Θεοτόκον.

Τοὺς ἐν ἀνάγκαις πάντας καὶ ἐν ἀσθενείαις, ὡς Ἰατροὶ τῶν νοσούντων σωτήριοι, λιταῖς ὑμῶν ταῖς ἁγίαις κινδύνων ῥύσασθε.

Δυάδα τὴν ἁγίαν, πᾶσι χορηγοῦσαν, εὐχαῖς αὐτῆς, τὰς ἰάσεις καὶ χάριτας, ὑμνολογήσωμεν πόθῳ καὶ μακαρίσωμεν.

Πρεσβείαις ὑμῶν θείαις, νόσων καὶ κινδύνων, καὶ πειρασμῶν καὶ δαιμόνων λυτρώσασθε, Δαμιανὲ καὶ Κοσμᾶ, Ἀνάργυροι ἔνδοξοι.

Θεοτοκίον.



Μαρία Θεοτόκε, ἡ Θεὸν τεκοῦσα, νόσων παντοίων, δεινῶν τε καὶ θλίψεων, τοὺς σὲ τιμῶντας διάσωσον, ταῖς πρεσβείαις σου.

Τὸ ἄξιόν ἐστι καὶ τὰ παρόντα Μεγαλυνάρια

Ἀνύστακτον, Ἀνάργυροι, τῆς ψυχῆς, ἔχοντες τὸ ὄμμα, πρὸς ἐκπλήρωσιν ἐντολῶν, πάντας τοὺς ὑπνοῦντας δειναῖς ἐν ἀσθενείαις, πρὸς εὐρωστίαν ὄντως αὐτοὺς ἐγείρατε.

Ὡς ὄντες, Ἀνάργυροι Ἰατροί, ἀμπέλου τῆς θείας, βλαστοὶ ὄντως ἀειθαλεῖς, οἶνον ἰαμάτων, κεράννυτε νοσοῦσι, καὶ εὐφροσύνης πάντα Κόσμον πληρώσατε.

Θεότητος δόξῃ, ὦ Ἰατροί, καταγλαϊσθέντες, τὴν ψυχήν μου τὴν ἀλαμπῆ, καταφωτισθῆναι ποιήσατε, ὡς θεῖοι τῶν ἀσθενῶν σωτῆρες, ταῖς θείαις λάμψεσι.

καὶ Θεοτοκίον **Πᾶσαι τῶν Ἀγγέλων.**

Τρισάγιον. Καὶ τὸ Ἀπολυτίκιον, ἦχος Πλ. Δ'.

**Ἅγιοι Ἀνάργυροι καὶ Θαυματουργοί...**

Ὁ Ἱερεὺς μνημονεύει ὡς ἔθος.

Ἐν τῇ Ἀπολύσει, καὶ τῇ προσκυνήσει τῆς ἁγίας Εἰκόνος, ψάλλομεν τὸ παρόν.

Προσόμοιον Ἦχος Β'.

**Ὅτε ἐκ τοῦ ξύλου Σε νεκρόν.**

Δεῦτε ὀρθοδόξων ἡ πληθύς, δεῦτε εὐσεβούντων ὁ δῆμος ἀνευφημήσωμεν, τοὺς σεπτοὺς Ἀκέστορας, τοὺς ἀναργύρους ἀεί, τοῖς νοσοῦσι τὴν ἴασιν, παθῶν σωτηρίαν, εὐσπλάγχνως παρέχοντες, καὶ λύσιν τῶν δυσχερῶν, πάντων τοὺς μεγίστους προστάτας, πάντων βοηθοὺς μετὰ Κτίστην, πάντων ἀντιλήπτορας Θεόφρονας.

ΤΕΛΟΣ.

ΒΙΒΛΙΟΘΗΚΗ ... ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΟΥΣ ΑΡΧΑΓΓΕΛΟΥΣ ΚΑΙ ΑΡΧΙΣΤΡΑΤΗΓΟΥΣ

## ΜΙΧΑΗΛ ΚΑΙ ΓΑΒΡΙΗΛ

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τους Πρωτοστάτας Οὐσιῶν τῶν ἀΰλων, καὶ καταυγάζοντας φωτὶ πᾶσαν Κτίσιν, τῆς Τρισηλίου δόξης καὶ Θεότητος, ἅπαντες τιμήσωμεν, Ἀρχαγγέλους τοὺς θείους, πρὸς αὐτοὺς κραυγάζοντες ἐν ψυχῇ τεθλιμμένῃ· ὦ Ταξιάρχαι ἀΰλων Οὐσιῶν, πάσης ἡμᾶς περιστάσεως ῥύσασθε.

Δόξα. Καὶ Νῦν. Θεοτοκίον. Τῇ Θεοτόκῳ. . .

Ὁ Ν'. καὶ ὁ κανών. Ἦχος πλ. Δ'. ἔχων Ἀκροστοιχίδα κατ' Ἀλφάβητον.

ᾠδὴ Α'. Ὑγρὰν διοδεύσας.

Ἁγίων Ἀγγέλων ὡς ἀρχηγοὶ, καὶ τῆς θεοπτίας ἀπολαύοντες τηλαυγῶς, τὸν Ἀγαθοδότην καὶ Σωτῆρα ὑπὲρ ἡμῶν καθικετεύσατε.

Ἀπαύστως δοξάζουσί σε πιστῶς Ἀσωμάτων δῆμοι, ἐνηδόμενοι κάλλει σῷ, καὶ τῇ ἀκορέστῳ αἴγλῃ, Σῶτερ· αὐτῶν πρεσβείαις ἡμᾶς κατοικτείρησον.

Βιαίοις κρατούμενοι πειρασμοῖς, ὑμῖν ὡς προστάταις καταφεύγομεν οἱ Πιστοί· Ἀρχάγγελοι θεῖοι, τὸν Δεσπότην νῦν ἐκτενῶς ἐκδυσωπήσατε. Θεοτοκίον.

Γενοῦ μοι, Παρθένε, καταφυγὴ, λιμήν τε καὶ τεῖχος καὶ προστάτις, ἡ τὸν Θεὸν ἐν σαρκὶ τεκοῦσα, Θεομῆτορ, τὸν λυτρωτὴν καὶ Πανοικτίρμονα.



ᾠδὴ Γ'. Οὐρανίας ἁψῖδος.

Δωρεαῖς πολυτρόποις, Ἀγγελικῶν τάξεων, οἷα Ταξιάρχαι, κοσμούμενοι, Ἀρχιστράτηγοι, καθωραΐσατε, τὰς τοῦ Χριστοῦ Ἐκκλησίας, θεϊκαῖς λαμπρότησι, ταῖς προστασίαις ὑμῶν.

Δωρεᾶς με ἁγίας, ὡς συμπαθεῖς Ἄγγελοι, νῦν καταξιῶσαι τὸν εὐσυμπάθητον δυσωπήσατε· τρόπους ἀσπλάγχνους γὰρ καὶ μοχθηροὺς κεκτημένον, μετανοίας τρόποις με ἀνακαλέσατε.

Εὐδοκίας ἐν ὅπλῳ τὸ τῶν Πιστῶν πλήρωμα, δόξης Οὐρανίου τῷ κάλλει νῦν στεφανούμενοι, ἐκ περιστάσεως, ὡς εὐκλεεῖς παραστάται τοῦ Θεοῦ, λυτρώσασθε, θεῖοι Ἀρχάγγελοι. Θεοτοκίον.

Ζωῆς τῆς ἀκηράτου θεία σκηνὴ γέγονας, μόνη ἐξ αἰῶνος φανεῖσα, Παρθενομῆτορ, Ἁγνή· διὸ Πανάμωμε τὸν ἐν σκιᾷ τοῦ θανάτου, πρὸς ζωὴν ὁδήγησον νῦν με, πρεσβείαις σου.

ᾠδὴ Δ'. Εἰσακήκοα Κύριε.

Ἡ Δυὰς ἡ πρωτεύουσα τῆς τῶν Ἀρχαγγέλων νῦν ὁμηγύρεως, τοὺς προστρέχοντας τῇ σκέπῃ σου, ἐκ παντὸς κινδύνου ἐλευθέρωσον.

Θεωροὶ τῆς λαμπρότητος τῆς Θεαρχικῆς καὶ Ἀγαθοδότιδος, Ἀρχιστράτηγοι, ὑπάρχοντες, δούλους τοὺς ὑμῶν δεινῶν λυτρώσασθε.

Ἱεραῖς ἐν δεήσεσιν εὕροιμι ὑμᾶς συλλήπτορας, Ἄγγελοι, τὴν ψυχήν μου ἐνισχύοντας, καὶ τὸν λογισμόν μου καταυγάζοντας. Θεοτοκίον.

Ἱερῶς σε δοξάζουσι τὰ τῶν Ἀσωμάτων θεῖα στρατεύματα, Θεομῆτορ Πανακήρατε· τὸν γὰρ Κτίστην τούτων ἀπεκύησας.

ᾠδὴ Ε'. Φώτισον ἡμᾶς.

Κύκλῳ τοῦ Θεοῦ παρεστῶτες, Ἀρχιστράτηγοι, καὶ ταῖς

www.tezaurliturgic.ro



ἐκεῖθεν πηγαζούσαις αὐγαῖς λελαμπρυσμένοι, τοὺς ὑμῶν οἰκέτας διασώσατε.

**Λ**ύτρωσιν ἡμῖν δωρηθῆναι ἱκετεύσατε, τὸν Δεσπότην καὶ Θεὸν ἡμῶν, ὡς παραστάται τῆς βροτῶν ἀπολυτρώσεως.

**Μ**ύστας τῆς σεπτῆς καὶ ἀρρήτου, Σῶτερ δόξης σου, τοὺς Ἀρχιστρατήγους ὑπέστησας· τοὺς σοὺς οὖν δούλους δι' αὐτῶν νῦν διαφύλαξον. Θεοτοκίον.

**Μ**ύρον μυστικὸν ὀνομάζομέν σε, Πάναγνε, ὡς γεννήσασα Θεὸν ἐν σαρκί, τὸν τὰ εὐώδη ἀναβρύοντα χαρίσματα.

## ᾨδὴ ΣΤ'. Τὴν δέησίν μου...

**Ν**ῦν θρόνῳ τῷ φοβερῷ παρίστασθαι ἀκλινῶς ἀξιωθέντες, Θεόπται, καὶ τοῦ φωτὸς τῆς Ἁγίας τριάδος ἐπαπολαύειν πρεσβεύσατε Ἄγγελοι, ῥυσθῆναι ἐκ τῶν πειρασμῶν, τοὺς τῇ σκέπῃ ὑμῶν καταφεύγοντας.

**Ξ**ηράνατε τῶν παθῶν σηπεδόνα, καὶ τῶν νόσων κοπάσατε τὸν σάλον· σὺν τούτοις δὲ, ὦ Ἀρχάγγελοι θεῖοι, καὶ τὰ τῆς Πίστεως σκάνδαλα παύσατε, καὶ ῥύσασθε πάντας ἡμᾶς, ταῖς λιταῖς ὑμῶν, πάσης αἱρέσεως.

**Ο**ἱ ἅγιοι Ταξιάρχαι Ἀγγέλων, παρεστῶτες εἰσαεὶ τῇ Τριάδι, καὶ τῶν φρικτῶν καὶ ἀρρήτων αὐτόπται, ὡς ὄντες, πάντας, Ἀρχάγγελοι, ῥύσασθε, κινδύνων τε καὶ πειρασμῶν, ταῖς ὑμῶν ἱκεσίαις δεόμεθα. Θεοτοκίον.

**Ο** ἔμψυχος τοῦ Σωτῆρος θάλαμος, ὁ λαμπραῖς τῆς Παρθενίας ἀκτῖσι, φωτοειδῶς ὥσπερ κρῖνος ἐκλάμπων, τῆς ἀκανθώδους ἐν μέσῳ συγχύσεως, ἡ Πάναγνος καὶ εὐπρεπὴς, Θεοτόκος Παρθένος δοξάζεται.

Πρὸς τὸ Διάσωσον. . . .

**Ε**κ νόσων καὶ ἐκ παντοίων κινδύνων ῥύσασθε Ταξιαρχαι, τοὺς πιστῶς τελοῦντας ὑμῶν τὴν Σύναξιν, ὡς φύλακες Ὀρθοδόξων καὶ προστάται.



καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς μνημονεύει· εἶτα τὸ Κοντάκιον Ἦχος β'.

**Α**ρχιστράτηγοι Θεοῦ, Λειτουργοὶ θείας δόξης, τῶν ἀνθρώπων ὁδηγοὶ καὶ Ἀρχηγοὶ Ἀσωμάτων, τὸ συμφέρον ἡμῖν πρεσβεύσατε, καὶ τὸ μέγα ἔλεος, ὡς τῶν Ἀσωμάτων Ἀρχιστράτηγοι.

Καὶ εὐθὺς τὸ Προκείμενον. ἦχος, δ'.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ Πνεύματα, καὶ τοὺς Λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Στίχος. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει. (Ζήτει Νοεμβ. 8).

Δόξα. Ταῖς τῶν Ἀσωμάτων, Οἰκτίρμον, προστασίαις. . .

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις. . . .

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...

Καὶ τὸ παρὸν Προσόμοιον.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

**Π**αύσατε τὴν ἔφοδον, ὦ Πρωτοστάται Ἀγγέλων, Μιχαὴλ θαυμάσιε, Γαβριὴλ θειότατε, τῶν αἱρέσεων, καὶ ταχὺ σώσατε ἐκ νόσων παντοίων, καὶ τὸν σάλον διαιρέσεων καταπραΰνατε, καὶ κινδύνων ῥύσασθε καὶ τῶν θλίψεων, λιταῖς ὑμῶν, Ἀρχάγγελοι, πάντας τοὺς ὑμᾶς ἀναμέλποντας, καὶ τῇ θείᾳ σκέπῃ ὑμῶν προσπεφευγότας εὐλαβῶς, καὶ τῶν δεινῶν τῆς κολάσεως, θεῖοι Νόες, σώσατε.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου, κτλ.

## ᾨδὴ Ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας...

**Π**ολυποίκιλον χάριν, Ἀρχιστράτηγοι θεῖοι, ὑμῖν δεδώρηται ὁ πάντων εὐεργέτης, οὗ νῦν τὴν Ἐκκλησίαν διασώσατε ψάλλουσαν· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

**Ρ**ώμῃ τοῦ Παντεπόπτου δυναμούμενοι, πάντα τῆς γῆς τὰ

www.tezaurliturgic.ro



πέρατα, τρανῶς περισκοπεῖτε, καὶ πάντας τοὺς ἐν πίστει περισώζετε ψάλλοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Σὺν Ἀΰλοις Ἀγγέλοις τῶν Πιστῶν αἱ χορεῖαι δεῦτε τιμήσωμεν, τὴν αἴσιον ἡμέραν τῆς μνήμης ἐκτελοῦντες τῶν Θεοῦ Ἀρχαγγέλων πιστῶς, καὶ ἐκβοῶντες αὐτοῖς, ῥύσασθε ἡμᾶς νόσων.

Θεοτοκίον.

Σωτηρίας λιμένα, Θεοτόκε Παρθένε, σὲ νῦν γνωρίζοντες, τοῦ βίου τοὺς κινδύνους ἐκφεύγομεν καὶ ζάλας, τῷ Υἱῷ σου κραυγάζοντες· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

## ᾨδὴ Η΄. Τὸν Βασιλέα.

Τοὺς παραστάτας καὶ ὑμνῳδοὺς τῆς ἀφράσου Ἀρχαγγέλους δόξης σου προσδέχου, σὲ νῦν δυσωποῦντας, ὑπὲρ ἡμῶν, Παντάναξ.

Ὕμνους ἀπαύστους, ὦ Ἀρχάγγελοι θεῖοι, τῷ Θεῷ προσφέροντες τῶν ὅλων, μέμνησθε τῶν πίστει ὑμᾶς ὑμνολογούντων.

Φῶτα, ὦ θεῖοι Ἀρχιστράτηγοι, ὄντες τῆς θεότητος, παρακαλοῦμεν πάντας, φωτὸς Οὐρανίου ἐμπλήσατε καὶ δόξης.

Θεοτοκίον.

Φαεινοτάταις σου ἀστραπαῖς, Θεομῆτορ, τοὺς πιστῶς εἰδότας σε φαιδρύνεις, τὴν τιμιωτέραν τῶν Οὐρανίων Νόων.

## ᾨδὴ Θ΄. Κυρίως Θεοτόκον.

Χορείας Ἀσωμάτους, νῦν τὴν Ἐκκλησίαν, δι᾽ ἀρετῆς μιμουμένην σὺ λάμπρυνον, περιτειχίζων, Παντάναξ, αὐτὴν Ἀγγέλοις σου.

Ψυχῶν τὴν σωτηρίαν, Θεοῦ Ταξιάρχαι, πᾶσιν ἡμῖν τοῖς τιμῶσι δωρήσασθε, τὴν φαιδροτάτην ὑμῶν καὶ θείαν πανήγυριν.

Ὡς φύλακας τοῦ Κόσμου καὶ τῶν Ὀρθοδόξων, καὶ Ἀρχιστράτηγοι θείων δυνάμεων, ῥύσασθε νόσων ἡμᾶς καὶ κακώσεων.

Θεοτοκίον.



Ὡς Λυκαυγὲς ὡς ὄρθος πᾶσι τοῖς ἐν σκότει ἐξανατεῖλασα, Ἄχραντε, πρέσβευε Χριστῷ, φωτίσαι τοὺς πίστει ἀεὶ ὑμνοῦντάς σε.

Τό, Ἄξιόν ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Σκέπε, φρούρει, φύλαττε σαῖς λιταῖς, Ἀρχάγγελε θεῖε, Ἀστραπόμορφε Μιχαὴλ, τοὺς πίστει σε τιμῶντας καὶ γεραίροντας πόθῳ, ὡς πρῶτον τῶν Ἀγγέλων καὶ Ἀρχιστράτηγον.

Σὺ πάρεσο προστάτης πᾶσιν ἡμῖν, ἐν παντὶ τῷ βίῳ καὶ ἐν ὥρᾳ τῇ φοβερᾷ τοῦ πικροῦ θανάτου, βοήθει θεῖε Νόε, Ἀρχάγγελε Κυρίου Μιχαὴλ ἀξιύμνητε.

Ξυνωρὶς ἀοίδιμε, καὶ Δυὰς ἄϋλε καὶ θεία, διασώσατε τοὺς πιστῶς, ὑμᾶς εὐφημοῦντας, ἐκ παντοίων κινδύνων, Ἀρχάγγελοι Κυρίου Μιχαὴλ καὶ Γαβριήλ.

Ἀρχάγγελοι, Ἄγγελοι καὶ Ἀρχαὶ, Δυνάμεις καὶ Θρόνοι, Κυριότητες, Σεραφὶμ, σεπταὶ ἐξουσίαι. καὶ Χερουβὶμ οἱ θεῖοι, ὑπὲρ ἡμῶν τὸν Κτίστην καθικετεύσατε.

Θεοτοκίον.

Τὴν ὑψηλοτέραν τῶν Οὐρανῶν καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ Κόσμου ὕμνοις τιμήσωμεν.

Τὸ Τρισάγιον. Καὶ τὸ Ἀπολυτίκιον Ἦχος Δ΄.

Τῶν Οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν...

ὁ Ἱερεὺς μνημονεύει.

Ἐν τῇ ἀπολύσει ψάλλομεν τὸ παρὸν ἦχος Β΄.

## Ὅτε ἐκ τοῦ ξύλου σὲ νεκρόν...

Δεῦτε ἐν ᾠδαῖς Πνευματικαῖς, Νόων Ἀσωμάτων τῶν θείων Ἀρχιστρατήγους κλεινοὺς, πόθῳ ἀνυμνήσωμεν πρὸς αὐτοὺς λέγοντες· Μιχαὴλ ὑπερένδοξε καὶ Γαβριὴλ θεῖε, σώσατε, Πανάγιοι, τοὺς Ὀρθοδόξους ἡμᾶς, νόσων τε παθῶν καὶ κινδύνων, ταῖς λιταῖς ὑμῶν, θεῖοι Νόες, καὶ πρὸς τρίβους σωτηρίας ὁδηγήσατε.

ΤΕΛΟΣ.

www.tezaurliturgic.ro



# ΕΤΕΡΟΣ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΕΛΟΜΑΡΤΡΑ

## ΜΗΝΑΝ·

## ΥΠΟ ΤΟΥ ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΙΩΑΝΝΟΥ ΚΕΦΑΛΗΝΕΩΣ.

Μετὰ τόν, Εὐλογητόν, τό, Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος· καὶ τὸ Τροπάριον Ἦχος Δ'.

### Τῇ Θεοτόκῳ ἐκτενῶς...

Τῷ Ἀθλοφόρῳ οἱ πιστοὶ ὁμοφρόνως, δεῦτε προσπέσωμεν ὁμοῦ ἐκβοῶντες, οἱ ἁμαρτήμασι βαρούμενοι σὺν δάκρυσι· σπεῦσον παναοίδιμε, Ἀθλητὰ τοῦ Κυρίου, σαῖς πρὸς τὸν Οἰκτίρμονα ἱκεσίαις, θεόφρον, παντὸς κινδύνου, νόσων χαλεπῶν, Μηνᾶ Παμμάκαρ, ἀπάλλαξον ἅπαντας. Θεοτοκίον.

Τῇ Θεοτόκῳ μετὰ δέους ἐμφρόνως, πάντες προσδράμωμεν κραυγάζοντες πόθῳ, Ὑπεραγία Δέσποινα Πανύμνητε, ῥῦσαι τῷ ἐλέει σου, ἀδοκήτων κινδύνων, πάσης περιστάσεως, καὶ κολάσεως τάχος, καὶ τῆς πανώλους λύμης Ἀγαθή, Εὐλογημένη Μαρία Θεόνυμφε.

Ὁ Ν'. Καὶ ὁ Κανὼν οὗ ἡ Ἀκροστιχίς.

Τὸ δὴ πόθῳ σοὶ νῦν Ἰωάννης ἄγει.

### ᾠδὴ Α'. ἦχος Πλ. δ'. Ἁρματηλάτην Φαραώ...

Ταῖς πρὸς Χριστόν σου ἱκεσίαις, Ἅγιε Μηνᾶ πανεύφημε, ῥῦσαι ἡμᾶς τάχος τῶν δεινῶν καὶ θλίψεων, καὶ πάσης περιστάσεως, καὶ νοσήματος μάκαρ· σὲ γὰρ προστάτην κεκτήμεθα, πρὸς Θεόν, Πανεύφημε ἅπαντες.

Ὄλβιος πέλεις παῤῥησίαν κτώμενος, πρὸς τὸν Χριστόν, Ἀθλητά· δώρησαι σοῖς δούλοις, τὰς αἰτήσεις τάχιστα· πίστει γάρ σοι κραυγάζουσιν, Ἀθλοφόρων τὸ κλέος, Μηνᾶ Μαρτύρων ἀγλάϊσμα, ῥῦσαι τοὺς πιστοὺς εὐφημοῦντάς σε.



Δόξης ἐνθέου, ἱερᾶς λαμπρότητος εἰς τὰ Οὐράνια, ἀξιωθεὶς μάκαρ, λάμψει τῶν ἀγώνων σου, παράσχου τοῖς ἱκέταις σου, τὰ αἰτήματα Μάρτυς, ταῖς πρὸς Χριστὸν ἱκεσίαις σου, ἔνδοξε Μηνᾶ ἀξιάγαστε. Θεοτοκίον.

Ἡ ὑπὲρ λόγον τὸν Θεὸν κυήσασα, εὐλογημένη Ἁγνή, ἄνθος δωρημάτων, Παρθενίας τέμενος, τοῦ Οὐρανοῦ ὑπέρτερε, Παραδείσου τὸ κάλλος, τῶν Ἀσωμάτων εὐπρέπεια, ῥῦσαι τοὺς πιστῶς προσκυνοῦντάς σε.

### ᾠδὴ Γ'. Οὐρανίας Ἁψῖδος...

Παροξύνας ἀμέτρως τὸν Λυτρωτὴν ἔνδοξε, πράξεσι μυρίοις καὶ κακουργήμασι, νῦν περιπέπτωκα, δεινοῖς παντοίοις ὁ τάλας, ἐξ ὧν με ἀπάλλαξον ταῖς ἱκεσίαις σου.

Ὁ Θεός σε Παμμάκαρ τῶν Ἀθλητῶν καύχημα, ἔδειξεν ἐν κόσμῳ προστάτην τῶν εὐφημούντων σε. Διὸ οἰκτείρησον ταῖς πρὸς Χριστόν σου πρεσβείαις, τοὺς πιστῶς τιμῶντάς σε, Μηνᾶ θαυμάσιε.

Θαυμασίων σε μάκαρ, ὑπερφυῶν ἔνδοξε, γνόντες αὐτουργόν σε θεόφρον, πάντες οἰόμεθα πλουτεῖν σε Ἅγιε, πρὸς τὸν Χριστὸν παῤῥησίαν, ὃν ἡμῖν ἱλέωσαι, Μηνᾶ ἀοίδιμε. Θεοτοκίον.

Ὡς πανάμωμος Μήτηρ τοῦ ποιητοῦ Ἄχραντε, ὡς ἁγιωτέρα ἁπάντων τῶν ἄνω Δέσποινα, ὡς πάντων ἄνασσα, Εὐλογημένη Μαρία, ῥῦσαι τοὺς ὑμνοῦντάς σε Ἀειμακάριστε.

### ᾠδὴ Δ'. Σύ μου ἰσχὺς Κύριε...

Σύ με ἀεὶ Ἅγιε τῶν περιστάσεων, σὺ κινδύνων, σὺ καὶ τῆς κολάσεως, παντὸς κακοῦ καὶ τῶν δυσχερῶν, ταῖς πρὸς τὸν Δεσπότην ἀπάλλαττε ἱκεσίαις σου, Μαρτύρων ἡ λαμπρότης, Ὀρθοδόξων τὸ κλέος, παρασχὼν τὰ αἰτήματα τάχιστα.

Ὁλοσχερῶς ἐπὶ τὴν σὴν Παναοίδιμε, θείαν σκέπην σπεύδω ὁ πανάσωτος, κράζων θερμῶς Μάρτυς τοῦ Χριστοῦ, ῥῦσαί με ἀνοίας καὶ τῆς δεινῆς περιστάσεως, Μηνᾶ πιστῶν προστάτα,

www.tezaurliturgic.ro



ταῖς λιταῖς πρὸς Χριστόν σου· σὲ γὰρ ἔχω θερμὸν ἀντιλήπτορα.

Ἵνα πιστῶς, σὲ ἀνυμνῶ Παμμακάριστε, μετὰ πόθου Ἀθλητῶν τὸ καύχημα, καὶ πᾶς πιστῶς σὲ ἀνευφημῇ, παράσχου ἀξίως ἡμῖν τὸν ἔλεον ἄνωθεν· πλουτεῖς γὰρ παῤῥησίαν, πρὸς Θεὸν οἷα Μάρτυς, ὀρθοδόξων τὸ κλέος θεόληπτε. Θεοτοκίον.

Νόες Ἁγνὴ, τῶν Ἀσωμάτων στρατεύματα, τῶν ἀΰλων τάγματα καὶ ἅπασαι τῶν Οὐρανῶν τάξεις ἀγαθὴ, σὲ ὑμνολογοῦσιν ὡς Βασιλίδα Οὐράνιον, μεθ᾽ ὧν πᾶσα ἡ Κτίσις προσκυνεῖ σε Κυρία, τῷ ἐλέει σου πάντας οἰκτείρησον.

## ᾠδὴ Ε΄. Ἵνα τί με ἀπώσω...

Ὑπὲρ ἥλιον μάκαρ, ἔλαμψας ἐν κόσμῳ ἀκτῖσι τῶν ἔργων σου, καὶ θαυμάτων ὄντως, ταῖς ἐλλάμψεσι πλείστους ἐλάμπρυνας. Διὸ πάντες πόθῳ, σὲ εὐφημοῦμεν Θεοκῆρυξ, ταῖς λιταῖς σου Μηνᾶ ἡμᾶς φώτισον.

Νῦν σε πίστει καὶ πόθῳ, πάντες εὐφημοῦμεν, Μηνᾶ ἀξιάγαστε, ταῖς πρὸς τὸν Δεσπότην, ἱεραῖς μεσιτείαις σου ἔνδοξε, ῥῦσαι τῶν κινδύνων, καὶ τῶν ἐχθίστων τῆς μανίας, ὡς προστάτης ἡμῶν ἀεισέβαστε.

Ἱλασμὸν τῶν πταισμάτων, καὶ τῶν ἐνεστώτων κινδύνων Πανεύφημε, Ἀθλοφόρων κλέος, τοὺς πιστῶς σε τιμῶντας ἀπάλλαξον, ὡς θερμὸς προστάτης, καὶ βοηθὸς τοῖς ἐν ἀνάγκαις, Ἀθλητῶν ὡραιότης πανεύφημε. Θεοτοκίον.

Ὦ Μητρόθεε Κόρη, Πάναγνε Θεόνυμφε Θεοχαρίτωτε, τάξεις Ἀσωμάτων καὶ Ἁγίων ἁπάντων συστήματα, σὲ ὑμνολογοῦσιν ὡς Βασιλίδα τῶν αἰώνων, τῷ ἐλέει σου οἴκτειρον ἅπαντας.

## ᾠδὴ ΣΤ΄. Τὰ νέφη τῶν λυπηρῶν...

Ἀνύψωσον εὐσεβῶν κραταίωμα, τῇ ἐντεύξει σου Μηνᾶ πρὸς τὸν Κτίστην· σὺ γὰρ ἡμῶν ὁ προστάτης Παμμάκαρ, καὶ σὲ ὑμνοῦμεν ἐν πίστει θαυμάσιε, ἀπάλλαξον πᾶσαν ἡμῶν ἀθυμίαν ἐν τάχει ἀείμνηστε.



Νοοῦντες τὴν πρὸς Θεὸν Πανθαύμαστε, παῤῥησίαν σου Μαρτύρων τὸ κλέος, πάντες πιστοὶ σὲ ὑμνοῦμεν ἐκ πόθου, ῥῦσαι ἡμᾶς συμφορῶν καὶ κακώσεων, λιταῖς σου πρὸς τὸν Λυτρωτὴν, παρασχὼν τὰς αἰτήσεις τῶν δούλων σου.

Ναμάτων ζωοποιῶν τοῦ Πνεύματος, ἐμπλησθείημεν ἐντεύξει σου Μάκαρ, ἵνα καρποὺς ἀρετῶν ἐκβλαστῆσαι, Μηνᾶ θεόφρον, ἰσχύσωμεν ἅπαντες, τιμῶντές σου τὴν ἱερὰν, καὶ σεβάσμιον Μάρτυς, ἀντίληψιν. Θεοτοκίον.

Η Πάνσεπτος τοῦ Θεοῦ Λοχεύτρια, ἡ Παρθένος Θεοτόκος Μαρία, τῇ πρὸς Θεὸν ἑαυτῆς παῤῥησίᾳ, τῶν δυσχερῶν ἀπαλλάττει τοὺς κράζοντας· ὑμνοῦμέν σε μόνη Ἁγνὴ, Παναγία Θεόνυμφε Δέσποινα.

Διάσωσόν παντὸς κινδύνου τοὺς εὐφημοῦντάς σε Μάρτυς, ταῖς πρὸς Χριστὸν λιταῖς σου Ἀοίδιμε, παῤῥησίαν πρὸς Θεὸν κεκτημένος.

Ἄχραντε εὐλογημένη Μαρία, ἱκεσίαις Μηνᾶ τοῦ Ἀθλοφόρου, οἰκτείρησον τοὺς πιστῶς σε ὑμνοῦντας.

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον

## Προστασία τῶν Χριστιανῶν...

Προστασία τῶν ὑμνούντων σε Θεόνυμφε, ἱκεσίαις τοῦ Ἀθλοφόρου Πανάχραντε, μὴ παρίδῃς τοὺς προσκυνοῦντάς σε Ἁγνὴ, ἀλλὰ σπεῦσον μόνη ἀγαθὴ εἰς τὴν ἀντίληψιν ἡμῶν τῶν πιστῶς ἐκβοώντων σοι τάχυνον Ὑπεραγία, πρόφθασον ἡ προστασία, ἡ ἀπαλλάττουσα ἀεὶ τῶν κινδύνων τοὺς τιμῶντάς σε.

καὶ εὐθὺς τὸ Προκείμενον

Δίκαιος ὡς φοῖνιξ ἀνθίσει.

Στίχος. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

## Εὐγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς ταῦτα ἐντέλλομαι κτλ. (Ζήτει Ἀπριλίου 2).

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

www.tezaurliturgic.ro



Ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν, ποιηθὲν ὑπὸ τοῦ Ἀργυρουπόλεως Σεραφείμ.

## Ἦχος Πλ. β'. Ὅλην ἀποθέμενοι...

Τὸν ὑπεραθλήσαντα ἐν τῷ σταδίῳ γενναίως, Ὀρθοδόξων σύλλογος, ἐν ᾠδαῖς καὶ ᾄσμασιν εὐφημήσωμεν· οὗτος γὰρ πάντοτε, οὐ διαλείπει τοῦ πρεσβεύειν πρὸς τὸν Κύριον, ὅπως ἂν λάβωμεν τῶν ἁμαρτημάτων τὴν ἄφεσιν. Τούτῳ οὖν προσερχόμενοι, πίστει τε καὶ πόθῳ προσείπωμεν, Μάρτυς τοῦ Κυρίου, Μηνᾶ ἡ τῶν Μαρτύρων καλλονὴ ὑπὲρ ἡμῶν μὴ ἐλλείποις σὺ, πρεσβείας ποιούμενος.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ.

## ᾨδὴ Ζ'. Παῖδες Ἑβραίων.

Σῶσον τὸ κλέος Ἀθλοφόρων, τοὺς τιμῶντάς σε Μηνᾶ Χριστοῦ θεράπον, παῤῥησίαν γὰρ σὺ πλουτεῖς πρὸς τὸν Δεσπότην, περιφρουρῶν τοὺς μέλποντας τὸν Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἄνω χοροῖς τῶν Ἀσωμάτων, τὴν ὑπέρθεον ὑμνολογῶν Τριάδα, ὑπὲρ πάντων ἡμῶν τῶν πίστει σε τιμώντων, δυσώπει Παμμακάριστε λυτρωθῆναι τῶν κινδύνων.

Γένος τὸ βρότειον τιμᾷ σου τὴν ὑπέρφωτον καὶ ἔνδοξον ἡμέραν, ἐν ὑψίστοις λαμπρῶς μετὰ τῶν Ἀσωμάτων, Τριάδα τὴν ὑπέρθεον προσκυνῶν ἀεὶ λατρεύεις. Θεοτοκίον.

Ἔχεις ὡς μήτηρ παῤῥησίαν, πρὸς τὸν Ὕψιστον τὸν σὸν Υἱὸν Περθένε· ὑπὲρ πάντων ἡμῶν δυσώπει Παναγία, αὐτοῦ τὴν ἀγαθότητα, οἰκτηρῆσαι ἡμᾶς πάντας.

## ᾨδὴ Η'. Τὸν ἐν Ὄρει ἁγίῳ.

Ἱκετεύει Μηνᾶς ὁ Ἀθλοφόρος, σὲ τὸν πάντων Θεὸν καὶ Βασιλέα, ὑπὲρ ἡμῶν τῶν πίστει κραυγαζόντων σοι· Κύριε τῆς δόξης οἴκτειρον τὸν κόσμον, ἀπείρῳ σου ἐλέει.

Ἀσωμάτων αἱ τάξεις καὶ Ἁγίων, δυσωποῦσι Χριστὸν τὸν Βασιλέα, μετὰ Μηνᾶ τοῦ Θείου καὶ Θεόφρονος· Κύριε τῆς δόξης, οἴκτειρον τὸν κόσμον, ἀπείρῳ σου ἐλέει.



Σὲ ὑμνοῦσιν Οὐράνιαι χορεῖαι, τὸν Παντάνακτα ὡς Κύριον τῆς δόξης, μετὰ Μηνᾶ Μαρτύρων τὸ ἀγλάϊσμα· ὢ Τριὰς Ἁγία, φρούρει ἡμᾶς πάντας τῷ θείῳ σου ἐλέει. Θεοτοκίον.

Ἅπαν χεῖλος, πνοὴ καὶ πᾶσα Κτίσις, ἀνυμνεῖ σε τὴν ὄντως Θεοτόκον, ὑπερφυῶς κυήσασαν τὸν Κύριον, τὸν Θεὸν τῶν ὅλων, ᾧ λατρεύει Κτίσις εἰς πάντας τοὺς αἰῶνας.

## ᾨδὴ Θ'. Ἐξέστη ἐπὶ τούτῳ...

Τὸν πάντων Βασιλέα καὶ κραταιὸν, ἱκετεύων μὴ παύσῃ ἀοίδιμε ἐκδυσωπῶν, ὑπὲρ τῶν τιμώντων σε ἐκτενῶς, Μάρτυς Μηνᾶ θεόπνευστε, καὶ ἐκδεχομένων ἀεὶ πιστῶς, ἀντίληψιν τὴν θείαν, τὴν σὴν Χριστοῦ θεράπων, καὶ εὐφημούτων σε ἀείμνηστε.

Ἐπίβλεψον ἐξ ὕψους, Παμβασιλεῦ, τῷ ἀπείρῳ ἐλέει σου Κύριε, ὡς ἀγαθὸς, οἴκτειρον τὸν κόσμον σου κραταιὲ, λιταῖς τοῦ Ἀθλοφόρου σου, λύων τὴν κατήφειαν τὴν ἡμῶν, ὡς μόνος εὐεργέτης, παρέχων εὐφροσύνην, καὶ αἰωνίαν ἀπολύτρωσιν.

Θεότης ἑνιαία ἡ φοβερὰ, Τρισυπόστατε Κύριε Ἄναρχε, μόνε Θεὲ, Ὕψιστε Παντάρχα Παμβασιλεῦ, σὲ λιτανεύει κράτιστε, ἅπασα ἡ Κτίσις ὡς πλαστουργὸν, Μηνᾶς τε ὁ γενναῖος, σὺν πᾶσι τοῖς Ἁγίας, καὶ Ἀσωμάτων τοῖς στρατεύμασι. Θεοτοκίον.

Ὦ Πάναγνε Μαρία Μῆτερ Θεοῦ, Σεραφὶμ ἀνωτέρα Θεόνυμφε, καὶ Χερουβὶμ, πάσης Οὐρανίου τε στρατιᾶς· σὲ δυσωπεῖ Πανάχραντε, μετὰ τῶν Μαρτύρων ὁ Παμφαὴς, Μηνᾶς ὁ Ἀθλοφόρος, οἰκτείρησον τὸν πίστει, συνθέντα τάδε τὰ ἐφύμνια.

Τὸ ἄξιόν ἐστι καὶ τὰ παρόντα Μεγαλυνάρια

Θαυμασίων πάντων σε ὁ Χριστὸς, ἀνέδειξε Μάρτυς, καὶ τεράτων ὑπερφυῶν, αὐτουργὸν διὸ πίστει τοὺς σὲ τιμῶντας, παντὸς κινδύνου σῶζε, Μηνᾶ πανένδοξε.

Παρὰ τοῦ Ἀργυρουπόλεως Σεραφείμ.

Μηνᾶν τὸν Ἀθλοφόρον, σὺν τῷ σεπτῷ θείῳ Βικεντίῳ, καὶ τὸν Βίκτορα ἐν ταὐτῷ, τῆς Ὀρθοδοξίας τοὺς τρεῖς λαμπροὺς φωστῆρας, καὶ τῶν Μαρτύρων κλέος, ὕμνοις τιμήσωμεν.

ΑΔΕΙΟΣ ΒΙΒΛ... ΠΑΠΑ... ΤΟΡΗΣ

www.tezaurliturgic.ro



Μὴ παύσῃ δεόμενος Ἀθλητὰ, τοῦ Θεοῦ τῶν ὅλων, ὑπὲρ πάντων τῶν εὐσεβῶς σὲ μακαριζόντων, ὡς Μάρτυρα Κυρίου, ὡς ἔχων παῤῥησίαν, Μηνᾶ πανθαύμαστε.

Τοὺς μετ' εὐλαβείας τὴν ἱερὰν, Εἰκόνα σου Μάρτυς, προσκυνοῦντας σαῖς πρὸς Θεὸν, ἱεραῖς πρεσβείαις, φρουρῶν μὴ διαλείπῃς, τῶν Ἀθλοφόρων κλέος, Μηνᾶ τρισόλβιε.

Καὶ τὸ, Πᾶσαι τῶν Ἀγγέλων.

Τρισάγιον. Καὶ τὸ Τροπάριον. Ἦχος Δ'.

Ὡς τῶν Ἀσωμάτων συνόμιλον καὶ τῶν Ἀθλοφόρων ὁμόσκηνον, συνελθόντες ἐν πίστει, Μηνᾶ εὐφημοῦμέν σε, εἰρήνην τῷ Κόσμῳ αἰτούμενοι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ὁ Ἱερεὺς Ἐλέησον ἡμᾶς ὁ Θεός...

Ἐν δὲ τῷ τέλει ψάλλεται τὸ παρὸν, ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου Σε νεκρόν.

Πάντων προσδραμόντων Ἀθλητὰ, πίστει τῇ Θερμῇ ἀντιλήψει τῆς προστασίας σου, Ἀθλοφόρε ἔνδοξε Μηνᾶ θαυμάσιε, προστατεύεις δωρούμενος αἰτήματα τάχος, ταῖς πρὸς τὸν Οἰκτίρμονα λιταῖς σου ἔνδοξε. Ὅθεν δυσωποῦμέν σε Μάκαρ, οἴκτειρον ἡμᾶς ἱκετεύων, Θεὸν τὸν Παντάνακτα ἀοίδιμε.

ΤΕΛΟΣ.

# ΕΤΕΡΟΣ

## ΕΙΣ ΤΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ ΣΕΡΑΦΕΙΜ, ΙΩΑΝΝΗΝ ΤΟΝ ΔΑΜΑΣΚΗΝΟΝ ΚΑΙ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΒΑΡΒΑΡΑΝ.

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ'.



Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τριὰς Ἁγίων τηλαυγὴς καὶ φωσφόρος ἐξανατείλασα σεπτῶς κατεφαίδρυνε, τὴν Ἐκκλησίαν σήμερον θαυμάτων βολαῖς. Ὅθεν ἑορτάζοντες τὴν σεπτὴν αὐτῶν Μνήμην, αἰτοῦμέν σε Σωτὴρ ἡμῶν, ταῖς αὐτῶν ἱκεσίαις, ἐκ τῶν κινδύνων λύτρωσε ἡμᾶς ὡς ἐλεήμων Θεὸς καὶ φιλάνθρωπος.

Δόξα. Καὶ Νῦν. Θεοτοκίον. Τῇ Θεοτόκῳ...

Ὁ Ν'. Καὶ ὁ Κανὼν ἔχων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις.

ΣΕΡΑΦΕΙΜ.

ᾨδὴ Α'. ἦχος πλ. Δ'. Ὑγρὰν διοδεύσας.

ΣΕΡΑΦΕΙΜ.

Πολλοῖς συνεχόμενος τοῖς δεινοῖς, πρὸς σὲ καταφεύγω ἐλευθέρωσον Σεραφεὶμ, ἐμὲ τὸν οἰκέτην σου τῆς τούτων, ἐκλιπαρῶ δυναστείας καὶ μάστιγος.

Παθῶν με ταράττουσι προσβολαὶ. καὶ νόσοι παντοῖαι κατατήκουσί με δεινῶς· σῶσόν με ἐν τάχει τούτων κράζω, σαῖς πρὸς τὸν Θεὸν Ἰωάννη ἐντεύξεσι.

Νοσοῦντά με νόσῳ τῆς λοιμικῆς, ἔνδοξε Βαρβάρα, ταῖς ἐνθέρμοις σου προσευχαῖς, σῶσόν με ὡς εὔσπλαγχνος ἐκ ταύτης, ἐκδυσωπῶ τὸν ἀχρεῖον οἰκέτην σου. Θεοτοκίον.

Σὺ εἶ, Παρθένε ἄσπιλε, τῆς ἐμῆς, διανοίας θάῤῥος, καὶ ἐλπίς μου τῆς ταπεινῆς ψυχῆς καὶ καρδίας ταλαιπώρου, σὺ εἶ τὸ φῶς, ἡ ζωὴ καὶ ἀνάστασις.

ᾨδὴ Γ'. Οὐρανίας ἁψῖδος.

Προστασίαις σου θείαις, ὦ Σεραφεὶμ ἔνδοξε, ῥῦσαί με ἐν νόσοις καὶ παντοίαις κείμενον περιστάσεσι· καὶ γάρ σε κέκτημαι μετὰ Θεὸν ὡς σωτῆρα, ὁ προστρέχων πάντοτε πιστῶς τῇ σκέπῃ σου.

Ἱκετεύω σε πόθῳ τοὺς ψυχικοὺς μώλωπας, καὶ τὴν τῆς σαρ-

www.tezaurliturgic.ro



κός μου δεινὴν ἀσθένειαν ἴασαι, τῇ πρὸς τὸν Κύριον, ὦ Ἰωάννη θεόφρον, ἐκτενεῖ ἐντεύξει τε καὶ ἱκεσίᾳ σου.

Χαλεπῇ ἀσθενείᾳ καὶ λοιμικοῖς πάθεσιν, ὅλως Ἀθλοφόρε δεινῶς πιεζόμενος, σὺ ἐλευθέρωσον ταῖς εὐπροσδέκτοις λιταῖς σου, Βαρβάρα πανένδοξε, ὅπως δοξάζω σε. Θεοτοκίον.

Ελεήμων ὡς Μήτηρ τοῦ Ποιητοῦ Ἄχραντε, ὡς ἁγιωτέρα ἁπάντων τῶν ἄνω Δέσποινα, ὡς πάντων Ἄνασσα, εὐλογημένη Μαρία, ῥῦσαι τοὺς ὑμνοῦντάς σε Ἀειμακάριστε.

## ᾠδὴ Δ΄. Εἰσακήκοα Κύριε.

Τῶν παθῶν μου τὸν τάραχον, Σεραφεὶμ πανένδοξε καταπράϋνον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἁμαρτιῶν μου ταῖς πρεσβείαις σου.

Ἀπολαύοντες πάντοτε, Ἰωάννη μάκαρ, τῶν δωρημάτων σου, τὸν δοξάσαντά σε Κύριον καὶ Θεὸν τῶν ὅλων μεγαλύνομεν.

Ἐπὶ κλίνης με κείμενον, καὶ ὑπὸ λοιμώδους νόσου κατατηκόμενον, ὦ Βαρβάρα ἐξανάστησον, ταῖς πρὸς τὸν Σωτῆρα σου ἐντεύξεσι. Θεοτοκίον.

Ῥυπωθεὶς ὁ νεκρόζωος, πλείστοις ἁμαρτήμασιν, ἱκετεύω σε ἔγειρόν με ταῖς πρεσβείαις σου, Θεοτόκε μόνη Ἀειπάρθενε.

## ᾠδὴ Ε΄. Φώτισον ἡμᾶς.

Ἔμπλησον χαρᾶς Σεραφεὶμ ἐμὲ τὸν δοῦλόν σου, τὸν προσιόντα τῇ Εἰκόνι σου, ταῖς πρὸς τὸν Κτίστιν θερμαῖς σου δεήσεσι.

Λύτρωσαί με νῦν Ἰωάννη ταῖς πρεσβείαις σου, ἐκ πάσης νόσου καὶ Αἱρέσεως, καὶ τοῦ ἐχθροῦ τῶν παγίδων ἐξάρπασον.

Ἴασαι ψυχῶν καὶ σωμάτων ἀῤῥωστήματα, ὦ Βαρβάρα Μάρτυς Πανένδοξε, τῶν μετὰ πόθου καὶ πίστεως προσιόντων σοι. Θεοτοκίον.

Ἄχραντε Σεμνὴ θείῳ ὕδατί με ῥάντισον, καὶ ταῖς λιβάσι τοῦ ἐλέους σου, σταγόνας δίδου τῶν δακρύων ὑετίζειν με.



## ᾠδὴ ΣΤ΄. Τὴν δέησιν ἐκχεῶ...

Θανάτου τοῦ αἰφνηδίου ῥῦσαί με, καὶ ἐκ πάσης λοιμικῆς ἀσθενείας, ὦ Σεραφείμ, τὸν ἐν πίστει καὶ πόθῳ καὶ κατανύξει ψυχῆς προσιόντα σοι, καὶ πάντων τῶν σωματικῶν ἀλγηδόνων με σῶσον πρεσβείαις σου.

Ὡς τεῖχος ἐν πειρασμοῖς στεῤῥότατον, κεκτημένοι σε σοφὲ Ἰωάννη, Αἱρετικῶν καὶ κινδύνων παντοίων, καὶ λοιμικῆς ἀσθενείας λυτρούμεθα, ταῖς θείαις σου πρὸς τὸν Θεὸν καὶ θερμαῖς ἱκεσίαις Πανόσιε,

Ἐν κλίνῃ τῆς ἀσθενείας κείμενος, καὶ ἐλπίδα ὑγιείας μὴ ἔχων, σὲ δυσωπῶ ὦ Βαρβάρα θεόφρον, μὴ καταλείπῃς ἐμὲ ἀπροστάτευτον· ἀλλ᾽ οἴκτειρον ταῖς σαῖς εὐχαῖς, καὶ λοιμώδους νοσήματος ῥῦσαί με. Θεοτοκίον.

Φωσφόρον σὺ τοῦ Δεσπότου σκήνωμα, καὶ παλάτιον ὑπάρχεις τοῦ Λόγου, καὶ λογικὸν, τοῦ τῷ λόγῳ τὰ πάντα πεποιηκότος Χριστοῦ, ἐνδιαίτημα, Πανύμνητε Μῆτερ Θεοῦ, τὴν ἀθλίαν μου ψυχὴν ἐλέησον.

Αἱρέσεων καὶ λοιμικῶν νόσων, ῥύσασθε Ἅγιοι, τοὺς τὴν Μνήμην ὑμῶν τὴν ἔνδοξον ἑορτάζοντας, ὡς θεῖοι Ἰατροὶ ἡμῶν καὶ προστάται.

Καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς μνημονεύει· εἶτα τὸ Κοντάκιον Ἦχος Β΄.

Τὴν χάριν τῶν θαυμάτων κομισάμενοι, παρέχετε τὰς ἰάσεις τοῖς ἐν ἀνάγκαις, καὶ λυτροῦσθε πάντα ἄνθρωπον λοιμικῆς νόσου πάντοτε. Διὸ τὰς Εἰκόνας ὑμῶν περικυκλοῦντες, μέλπομεν τὴν ὑμετέραν Μνήμην βοῶντες· λυτρώσασθε καὶ ἡμᾶς ἐκ τοῦ λοιμοῦ καὶ κινδύνων, Πανένδοξοι Ἅγιοι, ταῖς θερμαῖς ὑμῶν πρὸς Κύριον δεήσεσι.

Καὶ εὐθὺς τὸ Προκείμενον. ἦχος, δ΄.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος....

Στίχος. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη. . . .

www.tezaurliturgic.ro



## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς, πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων. (Ζήτει Νοεμβ. 6).

Δόξα. Ταῖς τῶν σῶν Ἁγίων. . .

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. . .

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρόν.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Ὅλην εἰσοικίσασα ἐν ἑαυτῇ τὴν Τριάδα, Τριὰς ἡ ἀοίδημος, Σεραφεὶμ Βαρβάρα καὶ Ἰωάννης σεπτὸς, ὡς κρουνοὶ βλύζουσιν ἐκ πηγῆς νάματα ζωηφόρα τῶν ἰάσεων, ὧν τὰ Μορφώματα πάθη δι᾽ ἁφῆς θεραπεύουσι, καὶ μόνα τὰ ὀνόματα νόσους ἐκ βροτῶν ἀπελαύνουσι, πάντων Ὀρθοδόξων ὑπάρχοντες λιμένες ἐν Χριστῷ, ᾧ παῤῥησίᾳ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν,

Τὸ, Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου, κτλ.

### ᾨδὴ Ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας. . .

Τὴν ὀργὴν τοῦ Κυρίου, Σεραφεὶμ εἰς ἀγάπην τελείαν μετάστρεψον, τῇ θείᾳ σου ἐντεύξει αὐτὸν καταπραΰνων, καὶ δωρούμενος ἅπασιν, ὑγείαν τε σωματικὴν ψυχῶν τε σωτηρίαν.

Σωμάτων ἀσθενείας καὶ ψυχῶν μαλακίας, Πάτερ ἐξάλειψον ἐκ πάντων τῶν Εἰκόνι τῇ σῇ προσπελαζόντων, Ἰωάννη μακάριε, ταῖς πρὸς Θεόν σου εὐχαῖς, ἵνα σε ἀνυμνῶμεν.

Θελητὴν τοῦ ἐλέους, ἐν τῷ μέσῳ Τυράνων Βαρβάρα ἐκήρυξας, Χριστὸν τὸν Ζωοδότην, οὗ δέου ὑπὲρ πάντων τῶν κραυγαζόντων σοι, ἐκ τῆς δεινῆς λοιμικῆς ῥῦσαι καὶ σῶσαι πάντας.

Θεοτοκίον.

Ἐν λαγόσι σου Λόγον, καὶ Δεσπότην τῶν ὅλων, ἐκυοφόρησας, καὶ τρέφεις ἐκ μαστῶν σου, τὸν πᾶσιν εὐκαιρίας ἑτοιμάζοντα τράπεζαν· ὃν ἐκτενῶς, Ἀγαθὴ, ὑπὲρ ἡμῶν δυσώπει.

### ᾨδὴ Η'. Τὸν Βασιλέα.

Τοὺς προσπελάζοντας τῇ σεπτῇ σου Εἰκόνι, ἐκ παντοίων



νόσων καὶ κινδύνων, Σεραφεὶμ τρισμάκαρ, ἀπάλλαξον εὐχαῖς σου.

Τῶν πειρασμῶν σὺ, ὦ Ἰωάννη παμμάκαρ, καὶ τῶν νόσων καὶ κινδύνων με ῥῦσαι, ταῖς πρὸς τὸν Σωτῆρα θερμαῖς σου ἱκεσίαις.

Τῶν ἀλγηδόνων σὺ, θείῳ σθένει, Βαρβάρα, ἀνεδείχθης ἰατρεία τελεία, νόσου τε λοιμώδους καὶ πάσης ἄλλης βλάβης.

Θεοτοκίον.

Ἵλαθι, Κόρη, ὃν ἐν ἀγκάλαις βαστάζεις Παντεπόπτην Σωτῆρα τοῦ Κόσμου, τοῦτον οὖν δυσώπει ῥυσθῆναί με πταισμάτων.

### ᾨδὴ Θ'. Κυρίως Θεοτόκον.

Ῥοήν μου τῶν δακρύων, δέξαι γαληνίως, καὶ ταῖς πρεσβείαις σου πάντα τοῦ σώματος, καὶ τῆς ψυχῆς Σεραφεὶμ, τὰ ἕλκη ἔκπλυνον.

Χαρᾶς τῆς Οὐρανίου, Μάκαρ Ἰωάννη, ἐπαπολαύων ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν πίστει καὶ πόθῳ μακαριζόντων σε.

Λιμὴν καὶ σωτηρία, ἡ θεία Εἰκών σου, τοῖς ἀσθενοῦσιν ὑπάρχει, Βαρβάρα ἔνδοξε, τὴν λοιμικὴν ἀῤῥωστίαν ἀποδιώκουσα.

Θεοτοκίον.

Μαρία ἐν πελάγει, τῷ τῆς ἁμαρτίας, καὶ τρικυμίαις παθῶν χειμαζόμενος, τῷ γαληνῷ σοι λιμένι προσφεύγω Δέσποινα.

Τὸ, Ἄξιόν ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Ἐν λοιμῷ σε ἔχομεν οἱ Πιστοὶ ἀκέστορα μέγαν, ἀντιλήπτορα ἐν δεινοῖς, ἐν κινδύνοις ῥύστην, πρόμαχον ἐν ἀνάγκαις, ἐν πειρασμοῖς σωτῆρα, Σεραφεὶμ ἔνδοξε.

Τοῖς Ἁγίοις πᾶσι συμπαρεστὼς, θρόνῳ τῷ πανσέπτῳ, τοῦ Παντάνακτος καὶ Θεοῦ, Ἰωάννη Μάκαρ, μνημόνευε τῶν πίστει καὶ πόθῳ ἐκτελούντων τὴν σὴν Πανήγυριν.

Ἰάσεων χάριν παρὰ Θεοῦ, δεξαμένη ὄντως τοῦ ἰᾶσθαι νόσους δεινὰς, τῶν προσερχομένων σοι, ὦ θεία Βαρβάρα, ῥῦσαι λοιμικῆς ἡμᾶς νόσου καὶ θλίψεων.

www.tezaurliturgic.ro



Σεραφεὶμ τὸν θεῖον σὺν τῷ κλεινῷ σοφῷ Ἰωάννῃ, καὶ Βαρβάραν νύμφην Χριστοῦ, τοὺς τῆς Ἐκκλησίας τρεῖς φαεινοὺς ἀστέρας, ἐν ὕμνοις ἀσιγήτοις δοξολογήσωμεν. Θεοτοκίον.

Ψάλλομεν προθύμως σοι τὴν ᾠδὴν, νῦν τῇ Πανυμνήτῳ Θεοτόκῳ χαρμονικῶς, μετὰ τοῦ Προδρόμου καὶ πάντων τῶν Ἁγίων, δυσώπει, Θεοτόκε τοῦ οἰκτειρῆσαι ἡμᾶς.

Τρισάγιον. Καὶ τὸ Τροπάριον. Ἦχος Α'.

Τοὺς φαεσφόρους λαμπτῆρας τῆς Ἐκκλησίας ὑπάρξαντας, καὶ τὴν Οἰκουμένην τῷ πλήθει τῶν τεραστίων καταγλαΐσαντας· τοὺς ἀθλητάς τε καὶ κήρυκας τῆς Τριάδος, τοὺς Τρισυποστάτῳ Θεῷ λατρεύειν τοὺς πιστοὺς ἐκδιδάξαντας· Σεραφεὶμ τὸν ἀθλητικώτατον, Ἰωάννην τε τὸν ἡδύφθογγον, σὺν τῇ σεμνοτάτῃ Βαρβάρᾳ, καὶ ὄντως Νύμφῃ Χριστοῦ τοῦ Παντάνακτος, πάντες οἱ φιλέορτοι δεῦτε πιστῶς, συνελθόντες ὕμνοις τιμήσωμεν. Αὐτοὶ γὰρ τῷ Κυρίῳ ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσιν.

Ἐν τῇ ἀπολύσει ψάλλομεν τὸ παρὸν ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου Σε νεκρόν.

Δεῦτε Ὀρθοδόξων ἡ πληθὺς, θεῖον Σεραφεὶμ καὶ Βαρβάραν καὶ Ἰωάννην ὁμοῦ, ᾄσμασι τιμήσωμεν, τοὺς Χριστοκήρυκας, τοὺς τὴν πλάνην πατήσαντας, καὶ νίκης λαβόντας ἀκήρατα στέφανα παρὰ Χριστοῦ τοῦ Θεοῦ· οὗπερ παρεστῶτες τῷ θρόνῳ, νάμουσιν ἰάσεις, παντοίας, πᾶσι, καὶ πταισμάτων ἀπολύτρωσιν.

ΤΕΛΟΣ.

# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

## ΝΙΚΟΛΑΟΝ·

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΑΡΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος, καὶ τὸ τροπάριον. Ἦχος Δ'.



Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ

ΤΟΥ Ἱεράρχου τῇ πασέπτῳ Εἰκόνι, Πιστοὶ προσπέσωμεν αὐτῷ ἐκβοῶντες, οἱ ἁμαρτίαις πολλαῖς ἐγκιλινδούμενοι, σπεῦσον ὦ Νικόλαε Ἱεράρχα Κυρίου, σαῖς πρὸς τὸν Φιλάνθρωπον ἱεραῖς ἱκεσίαις, παντὸς κινδύνου λύπης καὶ φθορᾶς, καὶ δεινῶν νόσων ἀπάλλαξον ἅπαντας.

Δόξα· Καὶ νῦν Θεοτοκίον. Οὐ σιωπήσωμεν....

Ὁ Ν'. καὶ ὁ κανών. ἔχων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις.

ΣΕΡΑΦΕΙΜ.

ᾨδὴ Α'. ἦχος Πλ. δ'. Ἁρματηλάτην Φαραώ...

Ταῖς προσευχαῖς σου Ἱερὲ Νικόλαε. ἐκδυσωπῶν τὸν Θεὸν, τὸ σκοτεινὸν νέφος τὸ τῆς ἀθυμίας μου Παμμάκαρ διασκέδασον, θυμηδίας ὑπάρχων καὶ εὐθυμίας ἀνάπλεως, τῷ Παμβασιλεῖ παριστάμενος.

Ταῖς τῶν παθῶν με τρικυμίαις πάντοθεν περικυκλούμενον, καὶ λογισμῶν σάλῳ τὴν ψυχὴν δονούμενον, ἐπὶ λιμένα εὔδιον, τῶν Χριστοῦ θελημάτων, ταῖς προσευχαῖς σου κυβέρνησον, ὅπως σὲ δοξάζω, Νικόλαε.

Τῶν Ἀποστόλων καὶ Ὁσίων σύσκηνος ἀποδεικνύμενος, καὶ Θεϊκῆς αἴγλης πάντοτε πληρούμενος, τοὺς τὴν σεπτήν σου σήμερον προσκυνοῦντας Εἰκόνα, φωτὸς μετόχους ἀνάδειξον, εὐχαῖς σου Παμμάκαρ Νικόλαε. Θεοτοκίον.

Σὲ τὴν ἐν σπλάγχνοις δεξαμένην Ἄχραντε, τὸ πῦρ τὸ ἄσεκτον, ἐκδυσωπῶ πίστει, τῆς Γεέννης ῥῦσαί με, καὶ τῆς ἀποκειμένης μοι, διὰ πλῆθος πταισμάτων, κολάσεως ἐλευθέρωσον, σοῦ ταῖς εὐπροσδέκτοις δεήσεσι.

ᾨδὴ Γ'. Σὺ εἶ τὸ στερέωμα

Ἵνα σε δοξάζωμεν καὶ σὲ πρεπόντως γεραίρωμεν, δίδου ἡμῖν, Νικόλαε Μάκαρ, τὴν εἰρήνην πρεσβείαις σου.

Κόπασον, Νικόλαε, ταῖς σαῖς θερμαῖς παρακλήσεσι, τὰς καθ' ἡμῶν ἐπανισταμένας, ἀσθενείας δεόμεθα.

www.tezaurliturgic.ro



Ρῦσαί με Νικόλαε, περικυκλούμενον πάθεσι, καὶ πειρασμοῖς καὶ κινδύνοις πλείστοις, ταῖς λιταῖς σου καὶ σῶσόν με.

Θεοτοκίον.

Ἔχω σε Πανάσπιλε βίου προστάτιν καὶ τεῖχος ἄρρηκτον· διὸ δεινῶν τοῦ ματαίου βίου, οὐ πτοοῦμαι τὴν ἔφοδον.

ᾨδὴ Δ'. Εἰσακήκοα Κύριε...

Νόσοις πλείστοις Νικόλαε, καὶ πολλοῖς τοῖς πταίσμασι περιπέπτωκα, πρόφθασόν με ῥῦσαι Πάνσεπτε, ταῖς πρὸς τὸν Δεσπότην ἱκεσίαις σου.

Ὁ ἀθώους τυγχάνοντας, νέους τρεῖς θανάτου ἀπαλλαξάμενος, σπεῦσον ῥῦσαί με Νικόλαε, τὰς αἰωνιζούσης κατακρίσεως.

Κατακρίσεως ἄξιος, ζῶν ἐν ἀμελείᾳ εἰμὶ ὁ ἄθλιος, ταῖς λιταῖς σου ὦ Νικόλαε, μετανοίας ὅρμῳ με ὁδήγησον.

Θεοτοκίον.

Ῥυπωθέντα με κάθαρον, καὶ νενεκρωμένον με σὺ ἀνάστησον, Θεοτόκε ἀειπάρθενε, τὸν νεκροὺς ζωώσαντα κυήσασα.

ᾨδὴ Ε'. Ἵνα τί με ἀπώσω...

Ἀκλινεῖ διανοίᾳ, πρὸς τὸν Ἐπουράνιον ἀνῆλθες Κύριον, παρ' οὗ καὶ τὴν χάριν, τῶν μεγίστων θαυμάτων ἀπείληφας, Νικόλαε Μάκαρ· διὸ ἡμᾶς τοὺς σοὺς οἰκέτας, τῶν δεινῶν καὶ τῶν νόσων ἀπάλλαξον.

Ἐν τῇ θείᾳ σου Μνήμῃ, Ἱερέων Νικόλαε σύλλογος τέρπεται, καὶ Πιστῶν χορεῖαι τῶν θαυμάτων τῶν σῶν ἀπολαύουσαι, ἐν χαρᾷ τρυφῶσι, καὶ ὡς εἰκός σε ἀνυμνοῦσι, καὶ προστάτην καλοῦσί σε μέγιστον.

Λαμπρυνθεὶς θείᾳ αἴγλῃ, ὤφθη ἡ καρδία σου ὄντως Παράδεισος, τῆς ζωῆς τὸ ξύλον κεκτημένη ἐν μέσῳ, τὸν Κύριον· ὃν δυσώπει Πάτερ, τοῦ Παραδείσου ἀπολαῦσαι, τῆς τρυφῆς καὶ τῆς δόξης τοὺς δούλους σου.

Θεοτοκίον.

Ἀνατίθημι, Κόρη, πάσας ἐπὶ σοὶ τὰς ἐλπίδας τῆς σωτηρίας μου· διὸ δυσωπῶ σε, μὴ παρίδῃς δεινῶς με ποντούμενον, συμφορῶν πελάγει, ἀλλὰ τὴν σὴν δίδου μοι χεῖρα, ὡς τῷ Πέτρῳ ὁ Υἱός σου, καὶ σῶσόν με.



ᾨδὴ ΣΤ'. Τὴν δέησιν ἐκχεῶ.

Χειμάζει μὲν τῶν κινδύνων ὁ σάλος, οὐκ ἰσχύει δὲ βυθίσαι με Μάκαρ· σὲ γὰρ ἀεὶ Κυβερνήτην πλουτήσας, πρὸς γαληνὸν τὸν λιμένα ἰθύνομαι, καὶ φθάνω μέχρις οὐρανοῦ, διὰ σοῦ Ἱεράρχα Νικόλαε.

Ἱλάσθητι τοῖς σοῖς δούλοις, Παμμάκαρ, καὶ ὑγείας τὴν ἀντίληψιν δίδου· ὡς ἀγαθὸς καὶ φιλάδελφος φύσει, καὶ τῶν δεινῶν καὶ τῶν θλίψεων λύτρωσαι, ταῖς θείαις σου πρὸς τὸν Θεὸν, μεσιτείαις, θεόφρον Νικόλαε.

Λυτρούμενος ἐκ θανάτου ὡς ὤφθης, τοὺς ἀθώους πρὶν, ὦ Πάτερ, στρατηλάτας, οὕτω καὶ νῦν περιστάσεως πάσης, ἡμᾶς καὶ νόσων Νικόλαε λύτρωσαι, πρεσβείαις σου ταῖς ἱεραῖς, ἵνα πόθῳ τιμῶμεν τὴν Μνήμην σου.

Θεοτοκίον.

Φιλάγαθε, νυσταγμῷ βαρούμενον ῥαθυμίας με, θερμῇ σου ἱκεσίᾳ ἔγειρον νῦν, καὶ μὴ δώῃς ὑπνῶσαι τῆς ἁμαρτίας σὸν δοῦλον εἰς θάνατον· προστάτην γὰρ καὶ ὁδηγὸν, τῆς ἐμῆς σε ζωῆς ἐπιγράφομαι.

Ἐπίβλεψον μετ' εὐμενείας, Νικόλαε Μάκαρ, καὶ πᾶσαν θλῖψιν λιταῖς σου ἀπέλασον, ἐκ τῶν ψυχῶν ἡμῶν τῶν οἰκετῶν σου.

καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον. ἦχος Δ'.

Ταῖς τῶν θαυμάτων ἀκτῖσι, Νικόλαε, καταφαιδρύνεις ὑφήλιον ἅπασαν, καὶ λύεις τὸν ζόφον τῶν θλίψεων, καὶ τῶν κινδύνων ἐλαύνεις τὴν ἔφοδον, προστάτης ὑπάρχων θερμότατος.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δ'.

Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Στίχος. Καυχήσονται Ὅσιοι ἐν δόξῃ.

www.tezaurliturgic.ro



**Εὐγγέλιον.** Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος. . . . ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων κτλ. (Ζήτει Δεκεμβρίου 6).

Δόξα. Ταῖς τοῦ Ἱεράρχου. . . .

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. . . .

Στίχος. Ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρόν,

Ἦχος Πλ. Β'. Ὅλην ἀποθέμενοι.

Ἅπαντα τὸν βίον μου ἐν ἀμελείᾳ διάγων, καὶ πρὸ τέλους ἔφθασα, ἄκαρπος ὁ δείλαιος Ὑπεράγαθε, πονηρῶνπράξεων, ἐπιφέρων μόνον, νῦν φορτία τὰ δυσβάστακτα· ἅπερ Φιλάνθρωπε, σκόρπισον ῥοπῇ τοῦ ἐλέους σου, καὶ δίδου μοι κατάνυξιν καὶ ἐπιστροφὴν τὴν σωτήριον, ταῖς τοῦ Νικολάου πρεσβείαις εὐπροσδέκτοις ὁ Θεὸς, ὃν εἰς πρεσβείαν προσάγω σοι καὶ τὴν σὲ κυήσασαν.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ.

## ᾨδὴ Ζ'. Παῖδες Ἑβραίων.

Ῥύστης πλεόντων ἀνεδείχθης, ὦ Νικόλαε, καὶ τῶν χηρῶν προστάτης, ὀρφανῶν τε λιμὴν καὶ πλουτιστὴς πενήτων· διὸ καὶ ἡμᾶς λύτρωσαι ἐκ κινδύνων σαῖς πρεσβείαις.

Ξένα Νικόλαε ἐργάζῃ ἐν θαλάσσῃ μακρὰν καὶ πάσῃ ὑφηλίῳ, ταχυδρόμους ἀεὶ καὶ πάσχοντας προφθάνων, καὶ τούτους ἐκλυτρούμενος ἐκ τῶν νόσων καὶ κινδύνων.

Νόσων παντοίων καὶ κινδύνων, Ἰατρὸς φανεὶς, Νικόλαε τρισμάκαρ· τῆς ψυχῆς μου διὸ θεράπευσον τὴν νόσον, καὶ εὐρωςίαν δώρησαι ταῖς ἐνθέοις σου πρεσβείαις. Θεοτοκίον.

Ἐπαρὸν χεῖράς σου, Παρθένε, πρὸς τὸν εὔσπλαγχνον Θεὸν καὶ Βασιλέα, καὶ δεινῶν συμφορῶν καὶ νόσων καὶ κινδύνων, τῇ κραταιᾷ πρεσβείᾳ σου ἐξελοῦ τοὺς σοὺς οἰκέτας.

## ᾨδὴ Η'. Τὸν Βασιλέα.

Τοὺς πειρασμῶν νῦν περισχεθέντας τῷ βάθει, σοὺς οἰκέτας Νικόλαε σῶσον, δοὺς ἡμῖν τὴν λύσιν αὐτῶν σαῖς ἱκεσίαις.



Ὡς ἐν τρυφῇ αὐλιζόμενος Μάκαρ, Οὐρανῶν τε δόξης ἀπολαύων, τοὺς σὲ ἀνυμνοῦντας διάσωζε εὐχαῖς σου.

Τῷ ἀπροσίτῳ ἐλλαμφθεὶς φωτὶ Πάτερ,, τὰς ψυχὰς τῶν ἐν θλίψει αὐγάζεις, διαλύων πάντα τῶν πειρασμῶν τὸν ζόφον. Θεοτοκίον.

Ἰσχύεις Κύρη, τὸν ἐν ἰσχύϊ τεκοῦσα, εὐσυμπάθητον Σωτῆρα τοῦ Κόσμου· διὸ τῇ θερμῇ σου προστρέχω βοηθείᾳ.

## ᾨδὴ Θ'. Κυρίως Θεοτόκον.

Γνωρίζει πᾶσα Κτίσις, Νικόλαε Μάκαρ, σῶν ἀρετῶν καὶ θαυμάτων τὸ πέλαγος· διὸ καὶ χαίρει πρςάτην σε ὀνομάζουσα.

Νικόλαε Παμμάκαρ, σῶζε ἐκ κινδύνων, τοὺς σοὺς οἰκέτας πιστῶς σε δοξάζοντας, ὡς μιμητὴς τοῦ Σωτῆρος ἀξιοθαύμαςος.

Τρυφῶν ταῖς Οὐρανίαις θείαις λαμπηδόσι, Θεομακάριστε Πάτερ Νικόλαε, τῇ προστασίᾳ σου σῶσον ἡμᾶς καὶ σκέπασον. Θεοτοκίον.

Μαρία Θεοτόκε, τὴν κεκακωμένην, τῇ ἁμαρτίᾳ ψυχήν μου ἀγάθυνον, καὶ ἀγαθῶν αἰωνίων μέτοχον ποίησον.

Τὸ ἄξιόν ἐστι καὶ τὰ παρόντα Μεγαλυνάρια

Νικόλαε Μάκαρ πάρεσο νῦν, προστάτης καὶ φύλαξ, καὶ ἐκ βλάβης παντοδαπῆς, ἡμᾶς ῥῦσαι πάντας, ἐν γῇ καὶ ἐν θαλάσσῃ τοὺς σὲ θερμῶς φωνοῦντας καὶ μεγαλύνοντας.

Χαίροις τῶν Πατέρων κλέος στεῤῥὸν, καὶ τὸ τῆς Τριάδος ἐνδιαίτημα καθαρὸν, τῶν Πιστῶν προστάτης, καὶ καταπονουμένων, βοήθεια καὶ σκέπη, Πάτερ Νικόλαε.

Ἐν νόσοις σε ἔχομεν Ἰατρὸν, ἐν κινδύνοις ῥύστην, κηδεμόνα ἐν ὀρφανοῖς, ἐν πένησι πλοῦτον, ἐν θαλάσσῃ σωτῆρα, καὶ χαρμονὴν ἐν θλίψει, σοφὲ Νικόλαε.

Ὀρφανῶν προστάτην σε καὶ χηρῶν, πεινόντων τροφέα, πενομένων τε πλουτιστὴν, αἰχμαλώτων ῥύςην, πλεόντων τε σωτῆρα,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΔΙΟΝ. ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



κεκτήμεθα, Παμμάκαρ σοφὲ Νικόλαε. Θεοτοκίον.

Ἵλεως γενοῦ μοι τῷ ταπεινῷ, ὅτι πλήν σου ἄλλην οὐ γινώσκω καταφυγήν, ὁ ἐν ἁμαρτίαις παντοίαις πεπλησμένος, ἐλέησόν με μόνη Χριστιανῶν ἡ ἐλπίς.

Τρισάγιον· καὶ τὸ Τροπάριον Ἦχος Δ'.

Κανόνα πίστεως καὶ εἰκόνα πραότητος. . . . κτλ.

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Ἀπολυτίκιον Ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου σὲ νεκρόν...

Χάριν εἰληφὼς παρὰ Θεοῦ, πᾶσι χορηγεῖς τὰς ἰάσεις ὑπὸ τὴν σκέπην σου, Ἅγιε Νικόλαε, τοῖς σοὶ προστρέχουσι· φυγαδεύεις δαιμόνων γάρ, ἀνίατα πάθη, πάντας θεραπεύεις δὲ τῇ προςασίᾳ σου. Ὅθεν καὶ ἡμεῖς δυσωποῦμεν, πρέσβευε πρὸς Κύριον πάσης, λυτρωθῆναι βλάβης τοὺς ὑμνοῦντάς σε.

ΤΕΛΟΣ.

# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

## ΣΠΥΡΙΔΩΝΑ

ΕΠΙΣΚΟΠΟΝ ΤΡΙΜΥΘΟΥΝΤΟΣ.

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τόν, Εὐλογητόν, τό, Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος· καὶ τὸ Τροπάριον Ἦχος Δ'.

ΤΟΝ Ἱεράρχην τοῦ Χριστοῦ τὸν Πανένδοξον, καὶ τροπαιοῦχον εὐσεβείας ἀήττητον, τῶν Ὀρθοδόξων καύχημα Σπυρίδωνα σοφόν, πάντες ἀνυμνήσωμεν πρὸς αὐτὸν ἐκβοῶντες, ῥῦσαι ἱκεσίαις σου, πειρασμῶν καὶ κινδύνων, τοὺς μετὰ πόθου, Πάνσεπτε, τὸ σόν, καταφιλοῦντας ἱερὸν ἐκτύπωμα.



Δόξα· καὶ νῦν Θεοτοκίον.

Τῇ Θεοτόκῳ ἐκτενῶς...

Ὁ Ν'. καὶ ὁ κανών. Ἦχος πλ. Δ'. ἔχων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις

ΣΕΡΑΦΕΙΜ.

ᾨδὴ Α'. ἦχος Πλ. δ'. Ἁρματηλάτην Φαραώ..:

Σπυρίδων Μακάριε, τῶν πιστῶν ἀντιλήπτωρ μέγα, τὴν πρεσβείαν σου συνεργὸν ἡμῖν πᾶσι δίδου τοῖς ἐκ πόθου, ἀσπαζομένοις τὴν θείαν Εἰκόνα σου.

Πᾶσαι εὐσεβούντων ὦ θαυμαστέ, Σπυρίδων αἱ τάξεις ἀνυμνοῦσί σε ἀληθῶς· Θεὸς γὰρ ὁ Πλάστης καὶ Δεσπότης, ἀξιοχρέως σε, Πάτερ ἐδόξασε.

Φωτὶ τῷ ἀΰλῳ ἐν Οὐρανῷ, Σπυρίδων Παμμάκαρ, σὺν Ἀγγέλοις σὺ ἐντρυφῶν, ταῖς πρὸς τὸν Δεσπότην εὐπροσδέκτοις ἡμᾶς λιταῖς σου φωταγώγησον. Θεοτοκίον.

Συνέχομαι κινδύνοις καὶ πειρασμοῖς, καὶ πρὸς σὲ Παρθένε καταφεύγων ἐπιζητῶ, τὴν λύσιν αὐτῶν καὶ σωτηρίαν· διὸ λιταῖς σου τόν δοῦλόν σου οἴκτειρον.

ᾨδὴ Γ'. Σὺ εἶ τὸ στερέωμα

Νεκρὰν ὡς ἐφώνησας ἐκ τοῦ μνημείου Σπυρίδων Ὅσιε, οὕτω κἀμὲ πταίσμασι θανόντα, σαῖς λιταῖς ἐξανάστησον.

Κόρος οὐ προσγίνεται τοῖς σὲ τιμῶσι, Σπυρίδων Ὅσιε· Σὺ γὰρ ἡμῶν προστάτης καὶ ῥύστης, καὶ τιμὴ καὶ ἀντίληψις.

Ἁπάσης με θλίψεως, καὶ ἐκ κινδύνων, Σπυρίδων Ὅσιε, σαῖς προσευχαῖς, καὶ παντοίων νόσων καὶ κολάσεως λύτρωσαι. Θεοτοκίον.

Ἔχων τὴν ἐλπίδα μου ἐν σοί, Πανάσπιλε δέσποινα, ὅλην πρὸς σὲ ἀνατείνω χαίρων τὴν ψυχὴν καὶ διάνοιαν.

ᾨδὴ Δ'. Εἰσακήκοα Κύριε..

Ὦ πολύφωτε Ἥλιε, τῶν Πατέρων κλέος, Σπυρίδων Ὅσιε,

www.tezaurliturgic.ro



τοὺς τιμῶντάς σε ἀξίωσον, φωταγωγηθῆναι ταῖς πρεσβείαις σου.

Παρεστὼς τῷ Παντάνακτος θρόνῳ αἰωνίῳ τοὺς ἀνυμνοῦντάς σε, ὦ Σπυρίδων, ἐλευθέρωσον ἐκ παντὸς κινδύνου, ἱκεσίαις σου.

Ὡς τὸν ὄφιν μετέβαλες εἰς χρυσὸν, Σπυρίδων Παναγιώτατε, οὕτω δέομαι μετάβαλλε, ἀπὸ τῶν κακῶν μεε ἰς μετάνοιαν.

Θεοτοκίον.

Ρῦσαι, Μῆτερ, τὸν δοῦλόν σου ἐκ τῶν κατεχόντων δεινῶν με θλίψεων· ἐπὶ σοὶ γὰρ ἀνατίθημι, πᾶσαν τὴν ἐλπίδα Ἀειπάρθενε.

## ᾨδὴ Ε΄. Φώτισον ἡμᾶς.

Λῦσον τῶν παθῶν τὴν ὁμίχλην, Ἁγιώτατε, τῇ φωταγωγίᾳ τῶν σεπτῶν σου λιτῶν, καὶ πρὸς τρίβους βίου με ἁγίου ὁδήγησον.

Νόσων ἰατρὸς καὶ κινδύνων ῥύστης ἔνθεος, σὺ ἀνεδείχθης Σπυρίδων ἱερέ· διὸ ψυχήν μου ταῖς λιταῖς σου νῦν θεράπευσον.

Ρῦσαί με δεινῶν, ὦ Σπυρίδων ἱερώτατε, τὸν σοὶ εὐλαβῶς καταφεύγοντα, καὶ ταῖς λιταῖς σου πάσης θλίψεως ἀπάλλαξον.

Θεοτοκίον.

Ἄχραντε ἡμῖν τοῖς οἰκέταις σου χορήγησον, τοῖς κατεχομένοις ὑπὸ τῶν θλίψεων, τὴν σωτηρίαν, μεσιτείαις σου πρὸς Κύριον.

## ᾨδὴ ΣΤ΄. Τὴν δέησιν ἐκχεῶ...

Νεκρώσας σου τῆς σαρκὸς τὰς κινήσεις, ἐξανέστησας νεκροὺς ὦ Σπυρίδων, ζωοποιῷ καὶ ἐνθέῳ σου λόγῳ. Ὅθεν κἀμοῦ τὴν ψυχὴν, Πάτερ Ἅγιε, ταῖς σαῖς λιταῖς ὡς συμπαθὴς, νεκρωθεῖσαν τοῖς πάθεσι ζώωσον.

Συνέχει με τῶν πταισμάτων θάλασσα, καὶ χειμάζει τρικυμία κινδύνων, καὶ πρὸς βυθὸν ἀπωλείας καθέλκει τῶν ἀνιάτων παθῶν ἡ ἀντίπνοια, Θεὸν ὁ κηρύξας τὸν Χριστὸν, ὦ Σπυρίδων τὸν κλύδωνα κόπασον.

Προστάτα τῶν θλιβομένων Σπυρίδων, μολυνθεῖσαν ἡδοναῖς



τὴν ψυχήν μου, διὰ λουτροῦ κατανύξεως θείας, καθαρτικῶν τε δακρύων ἀπόλουσον· καὶ ῥῦσαί με τῆς φοβερᾶς, σαῖς λιταῖς, καὶ ἀσβέστου κολάσεως.

Θεοτοκίον

Φυγάδευσον ἐκ τῆς ἀθλίας σαρκός μου, τὴν ἀνίατον ἀσθένειαν, Κόρη, καὶ τῶν δεινῶν ἀλγηδόνων με ῥῦσαι, καὶ θεραπείαν τελείαν μοι δώρησαι, καὶ σῶσόν με τὸν ἐπὶ σοὶ πεποιθότα, ταις θείαις πρεσβείαις σου.

Ἐκ θλίψεων καὶ ἐκ παντοίων κινδύνων λύτρωσαι Ἱεράρχα, τοὺς τὴν θείαν Μνήμην σου θερμῶς ἑορτάζοντας, ὡς ῥύστης τῶν θλιβομένων Σπυρίδων.

Καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς μνημονεύει· εἶτα τὸ Κοντάκιον Ἦχος Δ΄.

Τοῖς λόγοις ἐκόσμησας τὴν Ἐκκλησίαν Χριστοῦ, τοῖς ἔργοις ἐτίμησας τὸ κατ' εἰκόνα Θεοῦ, Σπυρίδων Μακάριε· ἔλαμψας ἐν τῷ κόσμῳ τῇ ἐν σῇ σωφροσύνῃ, χάριτας ἰαμάτων ἀπαστράπτων τοῖς πᾶσι· διὸ καὶ νῦν γεραίρομεν πίστει τὴν Μνήμην σου.

Καὶ εὐθὺς τὸ Προκείμενον. ἦχος, δ΄.

Τὸ στόμα μου λαλήσει. . . κτλ.

Στίχος. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται. . . κτλ. (Ζήτει Νοεμβρίου 13).

Δόξα. Ταῖς τοῦ Ἱεράρχου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρόν.

Ἦχος Πλ. β΄. Ὅλην ἀποθέμενοι.

Πλοῦτον ἀναφαίρετον ἔχει σε Κέρκυρα νῆσος, ταύτην ἀξιάγαστε, φαειναῖς αὐγάζοντα ταῖς λαμπρότησιν· ᾗ καὶ νῦν δώρησαι τὴν εἰρήνην Πάτερ, καὶ τροπαίων αὐτὴν ἔμπλησον, ἐχθρῶν τὴν ἔπαρσιν καὶ παρεμβολὰς κάμψας βέλεσι, Σπυρίδων Θεοδόξαστε, καὶ τῆς συμπαθοῦς μεταδόσεως, πλῆσον τὰς καρδίας,

ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

www.tezaurliturgic.ro



ἡμῶν τῶν ἀνυμνούντων σε πιστῶς, ἐν παῤῥησίᾳ δεόμενος ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου, κτλ.

## ᾠδὴ Ζ΄. Παῖδες Ἑβραίων.

Σῶσον τοὺς σὲ ἀνευφημοῦντας, Ὁσιώτατε Σπυρίδων Ἱεράρχα, καὶ τῷ θείῳ φωτὶ καταύγασον σοὺς δούλους, καὶ σαῖς λιταῖς ἐξάρπασον, τῆς Σατὰν μηχανουργίας.

Ῥῦσαι, Σπυρίδων Ἱεράρχα, σαῖς πρεσβείαις, δαιμόνων ἐπηρείας, λογισμῶν πονηρῶν σοὺς δούλους καὶ κινδύνων, ὅπως ἀεὶ σωζόμενοι, καταχρέως σὲ ὑμνῶμεν.

Παῦσον, Σπυρίδων σαῖς πρεσβείαις, τῆς ψυχῆς μου τὴν ἄῤῥητον ὀδύνην, καὶ δεινῶν συμφορῶν σὸν δοῦλον καὶ κινδύνων, καὶ τῶν παθῶν ἀπάλλαξον, ὡς πατὴρ τῶν θλιβομένων.

Θεοτοκίον.

Ἔμμονον ἔχων τὴν κακίαν, καὶ δουλούμενος ἀτόποις συνηθείαις, εὐσπλαγχνίᾳ τῇ σῇ προστρέχω ἀνακράζων· διάσωσόν με, Πάναγνε, Μητρικαῖς σου ἱκεσίαις.

## ᾠδὴ Η΄. Τὸν Βασιλέα.

Ἀσθενειῶν τε χαλεπῶν καὶ κινδύνων, Ἰατρόν σε γινώσκω ὦ Σπυρίδων· ῥῦσαι οὖν ψυχήν μου, λιταῖς σου, ἀθυμίας.

Τῶν κατεχόντων ἀνιαρῶν τοὺς σοὺς δούλους, ἐλευθέρωσον, Σπυρίδων Ἱεράρχα, θείαις σου πρεσβείαις αὐτοῖς διδοὺς τὴν λύσιν.

Μὴ διαλίπῃς τὸν Ἰησοῦν ἱκετεύων, ὡς προστάτης Πιστῶν, ὦ Σπυρίδων, διαφυλαχθῆναι ἡμᾶς ἐκ πάσης βλάβης.

Θεοτοκίον.

Ἵλαθι, Κόρη, τῷ οἰκτροτάτῳ σου δούλῳ, καὶ ἐκ νόσων ἀνιάτων με ῥῦσαι· ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

## ᾠδὴ Θ΄. Κυρίως Θεοτόκον.

Τοὺς πόθῳ τῇ σῇ σκέπῃ, Ἅγιε Σπυρίδων, καταφυγόντας



κινδύνων διάσωσον, καὶ ἐκ παθῶν καὶ τῶν νόσων, λιταῖς σου λύτρωσαι.

Φρουρῶν μὴ διαλίπῃς, Ὅσιε Σπυρίδων, τοὺς σὲ τιμῶντας πιστῶς καὶ δοξάζοντας, καὶ σαῖς πρεσβείαις, κινδύνων αὐτοὺς λυτρούμενος.

Λυτρούμενος ὡς ὤφθης πρότερον Σπυρίδων, τοὺς ἐν Κερκύρᾳ πιστῶς σοι προστρέξαντας· οὕτω καὶ νῦν πάσης ῥῦσαί με περιστάσεως.

Θεοτοκίον.

Μαρία σωτηρίας λιμένα σε εἰδότες, τῇ Παναχράντῳ σου σκέπῃ προστρέχομεν, καὶ ἐκ τῶν νόσων ῥυσθῆναι σὲ ἱκετεύομεν.

Τὸ, Ἄξιόν ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Χαίροις Τριμυθοῦντος ἡ καλλονή, χαίροις ἀσθενούντων καὶ πασχόντων ὁ ἰατρὸς, χαίροις τῶν Πατέρων ὡράϊσμα καὶ κλέος, τρισόλβιε Σπυρίδων, σὲ μεγαλύνομεν.

Πρέσβευε Σπυρίδων Θαυματουργὲ, ὑπὲρ Ὀρθοδόξων καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ· ὅπως τῶν πταισμάτων τὴν λύτρωσιν λαβόντες, παρὰ Θεοῦ, σὲ πάντες πόθῳ γεραίρομεν.

Δέησιν προσάγαγε τῷ Θεῷ, Σπυρίδων Παμμάκαρ, ὑπὲρ δούλων τῶν σῶν, Σοφὲ, τῶν τυραννουμένων ὑπὸ παντοίων νόσων, θλίψεων καὶ κινδύνων, καὶ τούτους λύτρωσαι.

Σπυρίδων τὰ ὄμματα τῆς ἐμῆς, ψυχῆς τυφλωθέντα, ἁμαρτήμασι χαλεποῖς, φώτισον λιταῖς σου, φωτὶ θεογνωσίας, καὶ ῥῦσαί με τῶν Ἅδου πικρῶν κολάσεων.

καὶ Θεοτοκίον **Πᾶσαι τῶν Ἀγγέλων.**

Τρισάγιον. Καὶ τὸ Τροπάριον. Ἦχος Α΄.

Τῆς Συνόδου τῆς πρώτης ἀνεδείχθης ὑπέρμαχος, καὶ θαυματουργῷ μόνῳ λόγῳ ποταμοὺς ἀνεχαίτισας, Σπυρίδων Μακάριε Σοφέ· ὅθεν νεκρᾷ σὺ ἐν τάφῳ προσφωνεῖς, καὶ ὄφιν εἰς χρυσοῦν μετέβαλες· καὶ ἐν τῷ μέλπειν τὰς ἁγίας σου εὐχὰς, Ἀγγέλους ἔσχες συλλειτουργοῦντάς σοι, Ἱερώτατε. Δόξα τῷ σὲ

www.tezaurliturgic.ro



δοξάσαντι· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Ὁ Ἱερεὺς μνημονεύει ὡς ἔθος.

Ἐν τῇ Ἀπολύσει, προσκυνοῦντες τὴν ἁγίαν Εἰκόνα ψάλλομεν τὸ παρὸν Προσόμοιον Ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου Σε νεκρόν.

Σκεῦος ἀπετέλεσας σαυτὸν, Πνεύματος Ἁγίου τρισμάκαρ, καθάρας σου τὴν ψυχὴν, χρίσμα θεῖον ἔλαβες Ἀρχιερεὺς γεγονὼς, καὶ προστάτης θερμότατος λαοῦ Ὀθοδόξου, τοῦ ἐγκαυχομένου σου τῇ παναγίᾳ Σορῷ· ὅθεν ὦ Σπυρίδων θεόφρον, εὔχου τῷ Θεῷ ὑπὲρ πάντων ἡμῶν τῶν τιμώντων καὶ εὐφημούντων σε.

ΤΕΛΟΣ.

---

# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ

## ΕΛΕΥΘΕΡΙΟΝ·

ΥΠΟ ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΠΑΡΙΟΥ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ'.

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Δόξα. Καὶ Νῦν. Θεοτοκίον. Τῇ Θεοτόκῳ. . . .

ΤΟΥΣ τῇ Εἰκόνι σου τῇ θείᾳ πεσόντας, καὶ τὴν ἀντίληψιν τὴν σὴν αἰτουμένους, ὡς συμπαθὴς ἐλέησον Παμμάκαρ αὐτοὺς, νέμε τούτοις ἅπασι τὰ σωτήρια πάντα, χαίροντας ἀπόλυσον, τῇ τῆς χρείας πληρώσει, μὴ ἀποστρέψῃς Ἅγιε κενοὺς, τοὺς προσφυγόντας εἰς σὲ Ἐλευθέριε.

Δόξα. Καὶ νῦν Θεοτοκίον. Οὐ σιωπήσομεν. . . .

ὉΝ'. καὶ ὁ κανὼν Ἀθανασίου τοῦ Παρίου.



ᾨδὴ Α'. Ἦχος πλ. Β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Ὡς παῤῥησίαν μεγάλην πρὸς τὸν Θεὸν, κεκτημένον ἔρχομαι, σὲ θεόφρον δυσωπεῖν, εὐμενῶς προσδέχου τὰς λιτὰς, ἃς προσάγειν, σοὶ τολμῶ ὑπὲρ τῶν δούλων σου.

Ἱεραρχίας ἐκλάμψας ταῖς ἀρεταῖς, Ἱεράρχης γέγονας Ἐλευθέριε λαμπρὸς, ἀναφέρων Μάκαρ πρὸς Θεὸν, τὰς δεήσεις τῶν Πιστῶν, ἃς καὶ νῦν ἄναγε.

Ὑπ' Ἀνικήτου τὸ χρίσμα ἀναλαβὼν, Ἱερεὺς ἐνδέδειξαι ἀξιόθεος Σοφὲ, καὶ μεσίτης ἔνθεος ὁμοῦ, μεσιτεύων τῷ Θεῷ ὑπὲρ τοῦ πλάσματος. Θεοτοκίον.

Φαεινοτάταις ἀκτῖσι πᾶσαν τὴν γῆν, ὁ ἐκλάμψας Ἥλιος ἐξ ἁγίας σου γαστρὸς, καταυγάζει Δέσποινα δι' ὧν, φωτισθέντες σὲ Θεοῦ Μητέρα σέβομεν.

ᾨδὴ Γ'. Οὐκ ἔστιν Ἅγιος ὡς Σύ.

Ὁ πάντα βλέπων ὡς Θεὸς, σὲ ἀνάγει εἰς ὕψος, τῆς λυχνίας τῆς θείας, οἷα φῶς τῶν ἀρετῶν, καὶ γέγονας ὁδηγὸς, τῶν ἐν σκότει, Μάκαρ Ἐλευθέριε.

Χριστὸν ὃν ἔσχες βραβευτὴν, ὑπὲρ τῆς εὐσεβείας, ἐναθλῶν ταῖς βασάνοις, αὐτὸν αἴτησαι καὶ νῦν, ἐπηρείας τοῦ ἐχθροῦ, καὶ πταισμάτων λύσιν μοι δωρήσασθαι.

Ὁ κλῆσιν ἔχων ἐκ Θεοῦ, ἐλευθέραν τρισμάκαρ, ἐλευθέρωσον ὄντας, ἐν ταῖς πέδαις τῶν δεινῶν, καὶ δίδου πᾶσιν εὑρεῖν τούτων λύσιν, Ἅγιε δεόμεθα. Θεοτοκίον.

Ἰδού σε πᾶσαι γενεαὶ μακαρίζουσι πίστει, τὴν τὸν Ἄχρονον Λόγον, ἐν σώματι χρονικῶς, τεκοῦσαν ὑπερφυῶς, καὶ Παρθένον πάλιν διαμείνασαν.

ᾨδὴ Δ'. Χριστός μου δύναμις.

Τὴν σὴν ἀντίληψιν, αἰτεῖ ὁ δοῦλός σου, τὴν σὴν γνοὺς παῤῥησίαν πρὸς τὸν Θεόν. Μέλπει δὲ καὶ κράζει σοι, μετὰ θερμότητος πολλῆς, Πάτερ σῶσον Ἐλευθέριε.

www.tezaurliturgic.ro



Τὸ πῦρ τὸ ἔνοικον, τὸ πῦρ τὸ ἔνυλον, τὸ τῆς θείας ἀγάπης ἐν σοὶ νικᾷ, τοῦτο τὸ ὁμόδουλον, αὐτὸ ὑπάναψον κἀμοὶ πρὸς τὸν Κτίστην Ἐλευθέριε.

Χρηστὴν ὁ δοῦλός σου, ἐλπίδα ἔσχηκε, σῆς τυχεῖν βοηθείας ὢν ἐν δεινοῖς. Ὅθεν καὶ προσέδραμεν, εἰς τὴν σεπτήν σου Εἰκόνα, Ἐλευθέριε Πανόλβιε. Θεοτοκίον·

Μαρία Πάναγνε, παθῶν τὴν σύγχισιν, τῆς ἐμῆς διανοίας καὶ πειρασμῶν, ζάλην διασκέδασον, τῆς ἀπαθείας τὴν πηγὴν ὡς τεκοῦσα Μητροπάρθενε.

## ᾠδὴ Ε΄. Τῷ Θείῳ φέγγει σου.

Κατὰ ἀνθράκων σὺ φλογερῶν, ὅλος ἐκτανθεὶς ὑπὲρ Χριστοῦ, φλόγας κατάσβεσον θλίψεων· τῆς δὲ θείας δρόσου τυχεῖν, ἐξαίτει θερμῶς, τοὺς σὲ προσκαλουμένους ὦ Ἐλευθέριε.

Πολλῶν ἐν βίῳ τῶν ἀλγεινῶν, καὶ τῶν δυσχερῶν ἀπαλλαγὴν, τῷ σῷ ἱκέτῃ καταπεμψον· σὲ γὰρ ἔχων πρὸς τὸν Θεὸν, προστάτην θερμὸν, αἰτεῖταί σου τὴν χάριν τὴν ἀκαταίσχυντον.

Τρωθεὶς τῷ ἔρωτι τοῦ Χριστοῦ, τὰς ποικιλοτρόπους σοι ποινὰς, ὅλως οὐκ ἔπτηξας κράτιστε, εἰδὼς τοῦτον Λόγον Θεοῦ, καὶ ὄντως Θεὸν, ᾧ πρέσβευε Παμμάκαρ ὑπὲρ τῶν δούλων σου. Θεοτοκίον.

Ὑποφωνοῦσι Προφητικαὶ, ῥήσεις Παναγία, διὰ πλειόνων συμβόλων τὸν τόκον σου, ὧν νῦν τὰς ἐκβάσεις ἡμεῖς θεώμενοι, κυρίως Θεοτόκον σὲ καταγγέλλομεν.

## ᾠδὴ ΣΤ΄. Τοῦ βίου τὴν θάλασσαν.

Ἰδού σοι παρίσταται, ὁ σὸς δοῦλος ταπεινῶς, τῶν ἀναγκῶν αἰτούμενος, τῇ Εἰκόνι σου πίστει νῦν προσδραμὼν, τὴν λύσιν καὶ ἄνεσιν, ταῖς πρεσβείαις σοι Μάκαρ Ἐλευθέριε.

Υἱὸς ὡς γενόμενος, ἐξ ὠδίνων γυναικὸς, τῶν τικτουσῶν προΐστασαι, καὶ παρέχεις ῥαστώνην τῶν ὀδυνῶν, βοώσαις σοι πρόφθασον, καὶ κινδύνων ἐσχάτων ἐλευθέρωσον.



Θαυμάτων ἡ σύμπασα, γέμει ἔνδοξε τῶν σῶν, σὲ γὰρ Θεὸς ἐδόξασε, Μαρτυρίου τῶν ἄθλων σου τῶν φρικτῶν. Διό με ἀπάλλαξον τοῦ παρόντος κινδύνου πάνυ δέομαι. Θεοτοκίον.

Σαρκὸς πηλικότητι, ἑνωθεὶς ὁ ἐκ Πατρὸς, μονογενὴς ἐν μήτρᾳ σου, εἷς ἐκ δύο προῆλθε δίχα φθορᾶς, τηρήσας ἀλώβητον, τὴν σεμνὴν Παρθενίαν σου Πανύμνητε.

Εἶτα εἰς Ἦχον Πλ. Δ΄. Παρὰ τοῦ Ἀργυρουπόλεως Σεραφείμ.

Διάσωσον ἀπὸ κινδύνων Ἐλευθέριε Μάκαρ, ἡμᾶς τοὺς τιμῶντάς σε καὶ προσρέχοντας, τῇ σκέπῃ σου τῇ θερμῇ καὶ ἁγίᾳ.

καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς μνημονεύει ὡς ἔθος.

Εἶτα τὸ Κοντάκιον.

## Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὸν Ἰατρὸν καὶ βοηθὸν ἐν ἀνάγκαις, τὸν λυτρωτήν τε καὶ Σωτῆρα τοῦ Κόσμου, αὐτὸν τῶν ὅλων Κύριον ἱκέτευε, ἅπασι δωρήσασθαι, τὰ αἰτήματα ὅσα, πρόσφορα τυγχάνουσι, καὶ σωτήρια μόνα, καὶ τῶν πταισμάτων λύσιν ἐξαιτοῦ, τοῖς σὲ τιμῶσι κλεινὲ Ἐλευθέριε.

καὶ εὐθὺς τὸ Προκείμενον

Δίκαιος ὡ φοίνιξ ἀνθήσει. . . κτλ.

Στίχος, Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου. . . .

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς, προσέχετε ἀπὸ τῶν ἀνθρώπων. . . κτλ. (Ζήτει Ἀπριλίου 23).

Δόξα Ταῖς τοῦ Ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχος. Ἐλέησόν με ὁ Θεός. . .

Τὸ παρὸν παρὰ τοῦ Ἀργυρουπόλεως Σεραφείμ.

## Ἦχος Πλ. Β΄. Ὅλην ἀποθέμενοι. . .

Δεῦτε προσκυνήσωμεν, λαὸς ἐν οἴκῳ Κυρίου, ἔνθα ἡ Πανάγιος Εἰκὼν τεθησαύρισται τοῦ Τρισμάκαρος· ᾧ τερπνοῖς ᾄσμασι, καὶ φαιδραῖς λαμπᾶσι, λιτανεύοντες βοήσωμεν. Σὺ Ἐλευθέριε, πρόφθασον ἡμᾶς ταῖς πρεσβείαις σου, καὶ κλύδωνος ἐξάρ-

www.tezaurliturgic.ro



πασον, καὶ τῆς καταιγίδος τῶν θλίψεων, ἵνα τὴν [illegible] σου πανήγυριν δοξάζωμεν πιστῶς, καὶ τὴν Εἰκόνα σεβόμεθα, ἰάσεις ἐκβλύζουσαν.

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου. κτλ.

## ᾨδὴ Ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο, Ἄγγελος τοῖς ὁσίοις παισίν. Ὁ Χριστὸς δὲ πυρπολοῦσαν ἔσβεσε τὴν σήν, καὶ Ἔπαρχον ἔπεισε βοᾶν, Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὀδυρόμενος ὁ Τύραννος οὐκ ἔφριξε, σὲ σώζοντα τὸν Θεὸν ὁρῶν. Γοητείας δὲ τὰ θαύματα λέγων τοῦ Θεοῦ, ἀνάξιος ὤφθη τοῦ βοᾶν, Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τὴν τεκοῦσάν σε ἀπέκτεινεν Τύραννος, προπλακεῖσαν Μάκαρ ἐπὶ σοί. Οὐρανίους γοῦν νῦν θαλάμους ἔχοντες ὁμοῦ, φωτίσατε πάντας τοῦ βοᾶν, Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Γενεῶν ἀπὸ πασῶν σε ἐξελέξατο Παλάτιον ἀμόλυντον, ὁ οἰκήσας σου τὴν γαστέρα Κόρη Βασιλεύς, ᾧ νῦν μελῳδοῦμεν εὐσεβῶς, Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

## ᾨδὴ Η'. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Ἀνυψῶν, Ἱεράρχα, Πιστῶν τὸ φρόνημα, ἐταπείνωσας θάρσος, καὶ καταβέβληκας τῶν εἰς τὸν Θεὸν ἀσεβούντων, κραυγάζων σύ, σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Ὥσπερ σὲ δεδεμένον Ἄγγελος ἔλυσε, καὶ θηρίων ἀγρίων στόματα ἔφραξεν· οὕτω νῦν ἡμῶν πέδας πάσας διάλυσον, τῶν ὑπερυψούντων Χριστὸν εἰς τοὺς αἰῶνας.

Τοῦ Αὐλῶνος Ποιμένα ἡ χάρις ἔχρισε, καὶ φωστῆρα τοῦ Κόσμου, πάντες σὲ ἔγνωμεν· φώτισον καὶ νῦν ἡμᾶς Πάτερ, καὶ πρέσβευε ὑπὲρ τῶν ὑμνούντων Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ζωοδότην τεκοῦσα Θεὸν καὶ Κύριον, τοῦ θανάτου τὴν ῥύμην



τὴν ἀκαταίσχυντον, ἔστησας Ἁγνὴ ταύτην ἀπονεκρώσασα. Ὅθεν σὲ ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

## ᾨδὴ Θ'. Θεὸν ἀνθρώποις.

Θεὸν ἀνθρώποις μαθεῖν ἐκήρυξας, τοῖς πρὶν ποτὲ ἀψύχοις τὴν λατρείαν προσάγουσιν. Ἀλλὰ σὺ μετάνοιαν διδάξοις καὶ νῦν, πάθεσι δουλωθέντας καὶ ἀπαλλάξειας, πάντας τῶν παγίδων τοῦ ἐχθροῦ ὦ Ἐλευθέριε.

Πυρὸς, λοιμοῦ τε καὶ πάσης μάστιγος, πάντας Πισοὺς θερμῶς σοῦ δεομένους ἀπάλλαξον· τοῖς γὰρ σοὶ προσφεύγουσι θερμῶς οἰκτιρμοῖς, λύεις τὰ τῆς ἀνάγκης ἐπικαμπτόμενος, οἷα τοῦ Δεσπότου μιμητὴς καὶ δοῦλος γνήσιος.

Ἰσχύς μοι γένοιο καὶ κραταίωμα, κατὰ παθῶν ἀγρίων τὴν ψυχὴν σπαραττόντων μοι· ἰσχὺς γὰρ ἐξέλιπε φεῦ ἡ ἐν ἐμοί· ταύτην ἀντιμισθίαν ἐμοὶ δωρούμενος, ὑπὲρ τοῦ παρόντος εὐτελοῦς σοι μελῳδήματος.

Θεοτοκίον.

Ὡς σὺ οὐδέποτε καχαρίτωται, ἐκ γενεῶν ἀρχαίων, Θεομῆτορ Πανάχραντε. Σὺ γὰρ μόνη τὴν πασῶν ἀσύγκριτον, ἔσχες ἁγιωσύνην, καὶ καθαρότητα. Ὅθεν ὑπεδέξω τὸν Θεὸν ἐν σοὶ σαρκούμενον.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Καὶ τὰ παρόντα Μεγαλυνάρια.

Εἶτα εἰς ἦχον Πλ. Δ'.

Δεῦρο ἐλευθέριε Ἀθλητὰ, τὸν ὕμνον προσδέχου ἱλαρῶς τε καὶ εὐμενῶς, ψυχῆς μὲν ἀνάγνου, καὶ γλώσσης ἀναξίας, ἐν πίστει δὲ καὶ πόθῳ σοι προσαγόμενον.

Σὲ τὸν ἐπαξίως στέφη διπλᾶ, κατηγλαϊσμένον, Ἐλευθέριε δυσωπῶ, τῆς Ἱεραρχίας, καὶ τῷ τοῦ Μαρτυρίου, παθῶν με πολυτρόπων δεῖξον ἐλεύθερον.

Χριστοῦ Ἱερομάρτυς θεόθεν σχὼν, δῶρον τεθλιμμένους, φερωνύμως ἐλευθεροῦν, ἀπάλλαξον δῆμε, θλίψεων δέομαί σου, μελλόντων δούς ἰσχύν μοι, τῶν νῦν ἀνέχεσθαι.

Τὸ παρὸν παρὰ τοῦ Ἀργυρουπόλεως Σεραφείμ.

www.tezaurliturgic.ro



Πᾶσαι αἱ ἐπίτεκες εὐλαβῶς, ψυχῇ τεθλιμμένῃ, σοὶ κραυγάζουσιν Ἀθλητὰ, δώρησαι εὐτοκίαν ἡμῖν, ἐγκυμονούσαις, καὶ ἐλευθερίαν, ὦ Ἐλευθέριε.

Καὶ τὸ, Πᾶσαι τῶν Ἀγγέλων.

Τρισάγιον· καὶ τὸ Τροπάριον Ἦχος Πλ. Α'.

Ἱερέων ποδήρει κατακοσμούμενος καὶ αἱμάτων τοῖς ῥείθροις ἐπισταζόμενος, τῷ Δεσπότῃ σου Χριστῷ Μάκαρ ἀνέδραμες, Ἐλευθέριε σοφὲ, καθαιρέτα τοῦ Σατᾶν. Διὸ μὴ παύσῃ πρεσβεύων, ὑπὲρ τῶν πίστει τιμώντων τὴν μακαρίαν σου Ἄθλησιν.

ὁ Ἱερεὺς μνημονεύει.

Ἐν τῇ Ἀπολύσει, καὶ τῇ προσκυνήσει τῆς ἁγίας Εἰκόνος, ψάλλομεν τὸ παρὸν

Ὑπὸ τοῦ Ἀργυρουπόλεως Σεραφείμ.

Ὅτε ἐκ τοῦ ξύλου σὲ νεκρόν...

Ὕμνοις καὶ ᾠδαῖς Πνευματικαῖς, θεῖε Ἐλευθέριε Μάρτυς ἀξιοθαύμαστε, Μνήμην τὴν ἐτήσιον τῆς σῆς ἀθλήσεως, οἱ ὁμώνυμοι ἅμα δὲ σὺν τοῖς Πιστοῖς πᾶσι, πάντοτε ποιούμεθα κατασπαζόμενοι, πόθῳ τὴν σεπτήν σου Εἰκόνα, βρύουσαν ἰάσεις, παντοίας πᾶσι τοῖς πιστῶς αὐτῇ προστρέχουσιν.

ΤΕΛΟΣ.

---

# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΚΑΙ ΕΝΔΟΞΟΝ ΑΠΟΣΤΟΛΟΝ ΤΟΥ ΧΡΙΣΤΟΥ, ΠΡΩΤΟΜΑΡΤΥΡΑ ΚΑΙ ΑΡΧΙΔΙΑΚΟΝΟΝ

## ΣΤΕΦΑΝΟΝ.

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητόν. τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος· καὶ τὸ Τροπάριον Ἦχος Δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ

ΤΟΝ Πρωτομάρτυρα Χριστοῦ, δεῦτε πάντες, οἱ συνεχόμενοι



δειναῖς ἀσθενείαις, ἀνευφημοῦνες κράξωμεν ἐκ βάθους ψυχῆς Στέφανε Ἀπόστολε Ἀρχηγὲ Διακόνων, πάσης ἡμᾶς λύτρωσαι θλίψεώς τε καὶ νόσου, σαῖς πανιέροις καὶ θερμαῖς λιταῖς, τοὺς μετὰ πόθου ἀεὶ εὐφημοῦντάς σε.

Δόξα καὶ τῦν Θεοτοκίον Οὐ σιωπήσομεν.

Ὁ Ν'. καὶ ὁ κανών. Ἦχος πλ. Δ'. ἔχων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις

ΣΕΡΑΦΕΙΜ.

ᾨδὴ Α'. ἦχος Πλ. δ'. Ὑγρὰν διοδεύσας.

Φρόνημα τὸ πρᾶον καὶ ἱλαρὸν, φέρων τοῦ Σωτῆρος, Πρωτομάρτυς ὁ θαυμαστὸς, εἴληφεν ἀθλήσεως τὸ στέφος, λίθων βολὰς ὑποστὰς ἱλαρότητι.

Στέφανε Μακάριε, ὡς τὸ πρὶν, τοὺς λιθάζοντάς σε συνεχώρησας Ἀθλητὰ, οὕτω τῷ σῷ δούλῳ τῶν πταισμάτων, λιταῖς σου θείαις τὴν λύσιν μοι δώρησαι.

Ὡς ἐκλήθης, Στέφανε, ἀληθῶς πρὸς ἐπικουρίαν Ἀποσόλων τοῦ Ἰησοῦ, οὕτω τὴν θερμήν σου προστασίαν, τῷ ταπεινῷ σου οἰκέτῃ χορήγησον. Θεοτοκίον.

Σοῦ κενοῦται, Ἄχραντε, τῇ γαστρὶ, Θεὸς ὁ τοὺς κόλπους μὴ κενώσας τοὺς Πατρικούς. Τοῦτον οὖν δυσώπει σωτηρίας, καταξιῶσαι τοὺς πίστει τιμῶντάς σε.

ᾨδὴ Γ'. Σὺ εἶ τὸ στερέωμα

Παρθένος ὑπῆρξας σὺ, καὶ τοῦ Σωτῆρος πιστὸς Διάκονος· διὸ κἀμὲ, Στέφανε Παμμάκαρ, παρθενεύειν ἐνίσχυσον.

Πέπτωκα ὁ δείλαιος εἰς ἁμαρτίας ἐσχάτην χάριβδυν· διὸ πρὸς σὲ, Στέφανε, ῥυσθῆναι, καταφεύγω δεόμενος.

Φώτισον, ὦ Στέφανε, τὴν ταπεινήν μου ψυχὴν σοῦ δέομαι, θείῳ φωτὶ, καὶ Παθῶν τὸν ζόφον σαῖς πρεσβείαις ἀπέλασον.

Θεοτοκίον.

Ἔφερες Πανύμνητε, τὸν ἀγεώργητον ἄσταχυν, ἐν σῇ γαστρὶ, τρέφοντα καρδίας, τῶν πιστῶς ἀνυμνούτων σε.

www.tezaurliturgic.ro



### ᾠδὴ Δ'. Εἰσακήκοα Κύριε...

Ὡς ἐδείχθης ὁ πρόβολος, Μάκαρ, τῆς ἀθλήσεως, κτείνας Τύραννον, οὕτω, Στέφανε, πολέμησον, τὰ δεινά μου πάθη ἱκετεύω σε.

Ὡς ἀστὴρ λαμπρὸς, Στέφανε, τῇ Χριστοῦ Γεννήσει σὺ συνεξέλαμψας· τὴν ψυχήν μου σὺν τοῖς πταίσμασι, σκοτισθεῖσαν, Μάκαρ, φωταγώγησον.

Ὡς Ἑβραίων ἠμαύρωσας, πᾶσαν τὴν δυσσέβειαν, Μάκαρ Στέφανε, οὕτω δέομαι τὴν ἔφοδον τῶν αἱρετιζόντων καταπράϋνον. Θεοτοκίον.

Ῥῦσαι, Κόρη Πανάσπιλε, ἡ ἀνερμηνεύτως Θεὸν κυήσασα, ἀπὸ πάσης περιστάσεως, νόσων καὶ κινδύνων τὸν οἰκέτην σου.

### ᾠδὴ Ε'. Φώτισον ἡμᾶς.

Πράξεως, Χριστὲ, μιαιφόνου ἡμᾶς φύλαττε ἀμετόχους, καὶ ἀξίωσον, τῆς κληρουχίας τοῦ Πρωτάθλου τοὺς ὑμνοῦντάς σε.

Πρέσβευε Χριστῷ τῷ Σωτῆρι, Μάκαρ Στέφανε, νόσων καὶ κινδύνων ἡμᾶς τοὺς δούλους σου, ἀπαλλαγῆναι ὁσημέραι δεομένους σου.

Πρώταθλε Χριστοῦ, ὡς ἡγίασας τὰ πέρατα, αἵμασιν ἁγίοις σου, οὕτω δέομαι, τοὺς σὲ τιμῶντας ταῖς πρεσβείαις σου ἁγίασον. Θεοτοκίον.

Ἄχραντε Ἁγνὴ, παρθενίας τὸ κειμήλιον, οὖσα, πάντας ταῖς πρεσβείαις σου, τοὺς σὲ τιμῶντας παρθενεύειν ἐνδυνάμωσον.

### ᾠδὴ ΣΤ'. Ἄβυσσος ἁμαρτιῶν.

Πρᾶον, Μάκαρ, τὸν Κριτὴν καὶ εὐΐλατον γενέσθαι δυσώπει. ἐν τῇ μελλούσῃ Κρίσει, ἱλαρῷ τε τὸ βλέμματι, ἐπιδεῖν καὶ ἐπ' ἐμὲ, ὅταν θελήσῃ μου ἐρευνῆσαι, λόγους καὶ πράξεις καὶ ἐννοίας τε.

Φῶς δεχθεὶς ἐν τῇ ψυχῇ, καὶ σοφίᾳ κοσμηθεὶς Οὐρανίᾳ, πάντας ἡμᾶς δυσώπει, ἱλαρώτατε Στέφανε, εἰρηνεύειν καὶ δεινῶν νόσων ῥυσθῆναι τοὺς σὲ τιμῶντας, καὶ φωτισθῆναι τὴν διάνοιαν.



Νέφεσιν ἁμαρτιῶν καὶ ὁμίχλῃ συσχεθεὶς τῶν πταισμάτων, καὶ τῶν παθῶν τῷ ζόφῳ καλυφθεὶς τὴν διάνοιαν, πράξεις ὄντως μοχθηρὰς ἤδη ἐτέλεσα· ἀλλ' ὦ Μάκαρ Στέφανε, ῥῦσαί με πρεσβείαις σου. Θεοτοκίον.

Φρίττων ὁ δείλαιος ἐγὼ τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν, καὶ δεδοικὼς τὴν κρίσιν τοῦ Κριτοῦ τὴν ἀδέκαστον, ἐπὶ σοὶ τοὺς ὀφθαλμοὺς ἔχων, Παρθένε, σῶσόν με σῶσον, κράζω, εὔσπλαγχνε.

Διάσωζε ταῖς εὐπροσδέκτοις πρεσβείαις σου, Πτωτομάρτυς, ἀπὸ παντοίων κινδύνων καὶ θλίψεων, τοὺς γεραίροντας τὴν ἁγίαν σου Μνήμην.

καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον. ἦχος Β'.

Ἀπόστολε Χριστοῦ, Ἀρχηγὲ Διακόνων, Πρωτομάρτυς σοφὲ, τῶν Μαρτύρων τὸ βάθρον, ὁ Κόσμου τὰ πέρατα ἁγιάσας σοῖς αἵμασι, καὶ τοῖς θαύμασι ψυχὰς ἀνθρώπων φωτίσας, ῥῦσαι παντοδαπῶν κακώσεων, τοὺς τιμῶντάς σε, Πανεύφημε Στέφανε.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Στίχος. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

### Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τὴν παρβολὴν ταύτην· ἄνθρωπός τις ἦν οἰκοδεσπότης. . . . κτλ. (Ζήτει Κυριακῇ ΙΓ'. Ματθαίου).

Δόξα Ἦχος β'.

Πρωτομάρτυς τοῦ Χριστοῦ, Στέφανε θεῖε, πρέσβευε αὐτῷ ἐλεῆσαι τοὺς τὴν σὴν, ἔνδοξον Μνήμην γεραίροντας.

Καὶ νῦν.

Θεοτόκε ἡ ἐλπὶς τῶν Ὀρθοδόξων, πρέσβευε Χριστῷ, ἀπαλλάξαι τῶν παθῶν, τοὺς εἰς σὲ πίστει προστρέχοντας.

www.tezaurliturgic.ro



Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμ.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Τὸν βίον μου ἅπαντα, ῥαθύμως ὅλως διάγων, τῷ τέρματι ἔφθασα αὐτοῦ, ὅλως ἄκαρπος ὁ κατάκριτος, τῶν κακῶν πράξεων ἐπιφέρων μόνον, νῦν φορτία τὰ δυσβάστακτα, ἅ, Ὑπεράγαθε, τῷ θείῳ ἐλέει σου καταμέρισον, βραβεύων μοι κατάνυξιν καὶ ἐπιστροφὴν τὴν σωτήριον, θείαις τοῦ Πρωτάθλου, λιταῖς ταῖς εὐπροσδέκτοις ὁ Θεὸς, ὃν εἰς πρεσβείαν προβάλλομαι, σὺν τῇ Κυησάσῃ σε.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ.

## ᾨδὴ Ζ'. Παῖδες Ἑβραίων.

Οἴκτειρον, Πρώταθλε, σὸν δοῦλον, ὁ Θεὸν τὸν Χριςὸν ἀνακηρύξας· καὶ τῷ θείῳ φωτὶ λαμπρύνας τὴν ψυχήν μου, τῆς σκοτοδίνης ῥῦσαί με, τῶν παθῶν σαῖς ἱκεσίαις

Ῥῦσαι, ὦ Στέφανε Παμμάκαρ, συνεχόμενόν με πάσαις κακουχίαις, καὶ δειναῖς συμφοραῖς, καὶ πάθεσι κινδύνων, ταῖς πρὸς Θεὸν τὸν εὔσπλαγχνον εὐπροσδέκτοις σου πρεσβείαις.

Παῦσον, ὦ Πρώταθλε τὰς νόσους, τυραννούσας δεινῶς τὸν σὸν οἰκέτην, καὶ μετάβαλε νῦν δεινότητα τὴν τούτων, εἰς εὐφροσύνην ἄληκτον, ταῖς θερμαῖς σου ἱκεσίαις. Θεοτοκίον.

Ἔπαινον γλώσσης ἐξ ἀνάγνου, τῇ Πανάγνῳ σοι προσφέρω, Θεοτόκε, ἐναγῶν λογισμῶν ῥυσθῆναι δυσωπῶν σε, καὶ μολυσμοῦ τοῦ σώματος, ὦ ἀμόλυντε Κυρία.

## ᾨδὴ Η'. Τὸν Βασιλέα.

Ἐκδαπανῶν ἐν φρικτῇ ἀμελείᾳ, τὸν ἐμὸν, ὦ Στέφανε, βίον, τῇ σῇ καταφεύγω ἐνθέρμῳ προστασίᾳ.

Τοὺς ὀφθαλμούς μου ὀμβροτόκους νεφέλας, δεῖξον Στέφανε, πρεσβείαις σου θείαις, ὅπως ὑετίζω ψυχήν μου τὴν αὐχμώδη.

Ἡμαρτηκὼς ὑπὲρ πάντας ἀνθρώπους, σοὶ προσέρχομαι, ὦ Στέφανε, σῶσον, ταῖς σεπταῖς λιταῖς σου, ἵνα σε μακαρίζω.



Θεοτοκίον.

Ἵλεον, Κόρη, ὃν ἐν ἀγκάλαις βαστάζεις, σὺ ἀπέργασαι ἐμοὶ τῷ ἀθλίῳ, καὶ τοῦτον δυσώπει ῥυσθῆναί με πταισμάτων.

## ᾨδὴ Θ'. Κυρίως Θεοτόκον.

Στέφανε τρισμάκαρ Οὐρανοπολίτα, ὑπὲρ ἡμῶν τῶν σῶν δούλων ἱκέτευε, ὅπως ῥυσθῶμεν κινδύνων καὶ περιστάσεων.

Σὺ τῷ Οὐρανίῳ θρόνῳ τοῦ Σωτῆρος, ὡς παριστάμενος, Στέφανε Πρώταθλε, τοὺς σὲ ὑμνοῦντας, λιταῖς σου ἀεὶ περίσωζε.

Προσάγων τῷ Κυρίῳ ὕμνον, ἐκδυσώπει ὑπὲρ οἰκέτου τοῦ σοῦ, Μάκαρ Στέφανε, ὅπως τῆς δόξης τῆς θείας μέτοχος γένωμαι. Θεοτοκίον.

Μαρία Θεοτόκε, σὲ ὑμνολογοῦμεν, ὅτι παντοίων κινδύνων λυτροῦσαι ἡμᾶς, ταῖς μητρικαῖς πρὸς τὸν Τόκον τὸν σὸν πρεσβείαις σου.

Τὸ ἄξιόν ἐστι καὶ τὰ παρόντα Μεγαλυνάρια

Πρέσβευε, ὦ Πρώταθλε, τῷ Χριστῷ, ὑπὲρ τῶν τιμώντων τὴν ἁγίαν σου ἑορτήν· ὅπως τῶν κινδύνων ἀπαλλαγῆς τυχόντες, ἅπαντές σε ἐν πόθῳ ἀεὶ γεραίρομεν.

Στέφανε Ἀπόστολε τοῦ Χριστοῦ, Πρῶτος Διακόνων ἀνεδείχθης, καὶ Ἀθλητῶν, ἡ δόξα καὶ βάθρον, καὶ δικαίων ἀκρότης· διὸ τοὺς σὲ τιμῶντας σῶζε πρεσβείαις σου.

Καὶ Θεοτοκίον. Ἀπὸ τῶν πολλῶν μου ἁμαρτιῶν.

Τρισάγιον. Καὶ τὸ Τροπάριον, ἦχος, Δ'.

Βασίλειον διάδημα ἐστέφθης... κτλ. (Ζήτει Δεκεμβ 27).

Ὁ Ἱερεὺς μνημονεύει ὡς ἔθος.

Ἐν τῇ Ἀπολύσει, προσκυνοῦντες τὴν ἁγίαν Εἰκόνα ψάλλομεν τὸ παρὸν Προσόμοιον Ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου Σε νεκρόν.

Ῥῦσαι τοῦ ἀσβέστου με πυρὸς, σκότους ἐξωτέρου καὶ ἄλλων δεινῶν καὶ θλίψεων. πάσης ἀσθενείας τε, πάσης κακώσεως, ἱκε-

www.tezaurliturgic.ro



τεύω σε Στέφανε, καὶ τάξον μερίδι τὸν αὐτοκατάκριτον τοῖς παραπτώμασι, Μάκαρ, τῶν Ἁγίων λιταῖς σου, ἔνθα Ἀσωμάτων αἱ Τάξεις, ἔνθα ἡ χαρά ἐστιν αἰώνιος.

ΤΕΛΟΣ.

# ΕΤΕΡΟΣ
## ΕΙΣ ΤΟΝ ΤΙΜΙΟΝ ΠΡΟΔΡΟΜΟΝ·

ΥΠΟ ΤΙΝΟΣ ΕΥΣΕΒΟΥΣ· ΔΙΟΡΘΩΘΕΙΣ ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τόν, Εὐλογητόν, τό, Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ'. Ὑπὸ τοῦ Ἀρ. Σερ.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ

Ὁ τοῦ Κυρίου μεγαλώνυμος κῆρυξ καὶ Ἀποστόλων ἡ κρηπὶς Ἰωάννη, θεομιμήτως πάριδε Πανάγιε, ἅπαντα τὰ πταίσματα τῆς ἀθλίας ψυχῆς μου· ῥῦσαι ἐκ παντοίων με καὶ ποικίλων κινδύνων καὶ τὸν κοινὸν ἱλέωσαι Θεόν, ἵνα ἐν κρίσει παράσχῃ μοι ἄφεσιν.

Δόξα· Καὶ νῦν Θεοτοκίον. Οὐ σιωπήσομεν. . . .

Ὁ Ν'. Καὶ ὁ κανών.

ᾨδὴ Α'. Ἦχος πλ. Δ'. Ὑγρὰν διοδεύσας.

Δεινῶς με χειμάζουσι λογισμοί, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν, Προφῆτα καὶ Πρόδρομε Κυρίου, ἐκ πάσης νόσου καὶ βλάβης με λύτρωσαι.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας ἐμπιπλῶσαί μου τὴν ψυχήν, εἰρήνευσον, Μάκαρ, ταῖς πρεσβείαις, ταῖς πρὸς Θεόν σου, Προφῆτα καὶ σῶσόν με.

Τὸν γῆς καὶ θαλάσσης καὶ Οὐρανοῦ, Ποιητὴν ἁπάντων ἀο-



ράτων καὶ ὁρατῶν, ὡς αὐτὸν βαπτίσας ἐκδυσώπει, ἐκ πάσης νόσου καὶ βλάβης ῥυσθῆναί με. Θεοτοκίον.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη, Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

ᾨδὴ Γ'. Οὐρανίας ἁψῖδος.

Προστασίαν καὶ σκέπην τὴν σὴν ἀεὶ δίδου μοι, ἐπικαλουμένῳ, Προφῆτα, σύ με κυβέρνησον, ταῖς ἱκεσίαις σου, τὸν ἀσφαλῆ πρὸς λιμένα, καὶ δεσμῶν με λύτρωσαι τοῦ πολεμήτορος.

Ἱκετεύω, Προφῆτα, τὸν ψυχικὸν τάραχον, καὶ τὰς προσβολὰς τῶν δεινῶν νόσων πάντοτε, ἐπερχομένας μοι, ἐξ ἐμοῦ, Πρόδρομε, τάχυ, μακρὰν ἀποδίωξον ταῖς ἱκεσίαις σου.

Χαλεπαῖς ἁμαρτίαις καὶ νοσεροῖς πάθεσι περικλυζομένῳ, Προφῆτα, σύ με βοήθησον, ὑπὸ τὴν σκέπην σου ὁλοτελῶς προσφυγόντι, καὶ θερμῶς κραυγάζοντι, σῶσόν με Πρόδρομε. Θεοτοκίον.

Εὐεργέτην τεκοῦσα τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι ὡς δυνατὸν ἐν ἰσχύϊ τὸν Χριστὸν κυήσασα μόνη Πανάχραντε.

ᾨδὴ Δ'. Εἰσακήκοα Κύριε.

Τὸν παθῶν μου τὸν τάραχον, ὁ τὸν εἰρηνάρχην βαπτίσας Κύριον, ταῖς πρεσβείαις σου κατεύνασον, καὶ εἰς γῆν πρᾳέων με ἐνόρμησον.

Εὐσπλαγχνίας τὸ πέλαγος, ὁ ἀνυποστόλως κηρύξας ἅπασι, καθικέτευε σοῦ δέομαι, τῶν βασάνων ὅπως λυτρωθείημεν.

Ἀπολαύοντες, Πρόδρομε, τῶν σῶν δωρημάτων σοὶ χαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ τῆς σῆς τρυφῶντες ἀντιλήψεως. Θεοτοκίον.

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε, Πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣ...

www.tezaurliturgic.ro



## ᾠδὴ Ε'. Φώτισον ἡμᾶς.

Πλήρωσον ἡμῶν τὰς αἰτήσεις τῶν τιμώντων σε ὁ τοῦ ἀδύτου τὴν ὑφήλιον, φωτὸς πληρώσας τῷ κηρύγματί σου, Πρόδρομε.

Λύτρωσον ἡμᾶς ἐκ κινδύνων Βαπτιστὰ τοῦ Χριστοῦ, ὁ αἰωνίαν κηρύξας λύτρωσιν, καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν.

Λῦσον τῶν δεινῶν νοσημάτων τὴν ἀσθένειαν τῶν πρεσβειῶν τῶν σῶν τῇ θερμότητι, ὁ τὸν Σωτῆρα βαπτίσαι φανεὶς ἐπάξιος.

Θεοτοκίον.

Ἴασαι Ἁγνὴ, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν ταῖς πρεσβείαις σου παράσχου μοι.

## ᾠδὴ ΣΤ'. Τὴν δέησιν ἐκχεῶ.

Θανάτου καὶ τῆς φθορᾶς ἐξάρπασον, ἀφθαρσίαν μοι διδοὺς ἀπολαύειν, ἐκ πειρασμῶν καὶ κινδύνων παντοίων, καὶ ἐξ ἐφόδου τῶν νόσων ἐξαίρων με· δεήσεσι σαῖς, Βαπτιστὰ, ἐν Κυρίῳ, καὶ σῶσόν με δέομαι.

Προστάτην σε τῆς ζωῆς ἐπίσταμαι, καὶ θερμὸν ἐν περιστάσεσι πρέσβυν, καὶ πειρασμῶν διαλύοντα νέφος, καὶ πᾶσαν νόσον καὶ βλάβην ἐλαύνοντα· καὶ δέομαι ὁ δυσμενὴς ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Ἐν λάκκῳ ἁμαρτιῶν ἐμπέπτωκα, καὶ αὐτοῦ ἀναδραμεῖν οὐκ ἰσχύω· ἀλλ' ὁ Θεὸν τὸν ἐκ λάκκου λεόντων, βαπτίσας, πάλαι προφήτην ῥυσάμενον, λιτάνευε ἵν' ἐξ αὐτοῦ, ἀναγάγῃ με, Τίμιε Πρόδρομε.

Θεοτοκίον.

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι, Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα· ὦ Δέσποινα καὶ νῦν ἡμᾶς. τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Ὑπὸ τοῦ Ἀργ. Σερ.

Διάσωσον ἐκ πάσης νόσου, Πρόδρομε τοῦ Σωτῆρος, τοὺς ὑπὸ τὴν σκέπην σου καταφεύγοντας, καὶ λύτρωσαι αἰωνίων βασάνων.



καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς μνημονεύει ὡς ἔθος.

Εἶτα τὸ Κοντάκιον.

Προφῆτα Θεοῦ καὶ Πρόδρομε τῆς χάριτος, τὴν Κάραν τὴν σὴν, ὡς ῥόδον ἱερώτατον, ἐκ τῆς γῆς εὑράμενοι, τὰς ἰάσεις πάντοτε λαμβάνομεν· καὶ γὰρ πάλιν ὡς πρότερον, ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δ'.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡς ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχος. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Τῷ καιρῷ ἐκείνῳ, βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει. . . κτλ. (Ζήτει Ἰανουαρίου 7).

Δόξα. Ταῖς τοῦ σοῦ Προδρόμου. . .

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. . .

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον

Ἦχος Πλ. β'. Ὅλην ἀποθέμενοι.

Προφῆτα καὶ Πρόδρομε, ψυχῆς ἐμῆς θυμηδία, δέξαι, Πανακήρατε, τὴν προσφερομένην σοι ἱκεσίαν μου, θλίψις γὰρ ἔχει με καὶ δεινὰ παντοῖα, Ἰωάννη, μεγαλώνυμε, σῶσον τὸν δοῦλόν σου, καὶ χειρὸς τοῦ δράκοντός με ἐξάρπασον, καὶ τούτου τῶν παγίδων νῦν, ὡς εὐσυμπαθὴς ἐλευθέρωσον, πρεσβείαν προσάγων, καθὸ κοινὸς μεσίτης πρὸς Θεὸν, καὶ πάσης νόσου ἐκλύτρωσαι τὸν αὐτοκατάκριτον.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου. κτλ.

## ᾠδὴ Ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας...

Τῆς Ἀδὰμ ἁμαρτίας τὸ χειρόγραφον, Λόγον τὸν διαῤῥήξαντα, ἐν ῥείθροις Ἰορδάνου κραυγάζων ὑπεδέξω, Ἰωάννη Πανεύφημε· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θελητὴν τοῦ ἐλέους, τὸν φιλάνθρωπον, Μάκαρ, ὑπὲρ τῶν

www.tezaurliturgic.ro



δούλων σου, δυσώπει τῶν πταισμάτων καὶ νόσων ἰοβόλων, λυτρωθῆναι τοὺς ψάλλοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητός εἶ.

Θησαυρὸν σωτηρίας καὶ γαλήνιον ὅρμον, καὶ ἐν κινδύνοις ταχὺν προστάτην τοῖς καλοῦσιν, εἰδότες σε βοῶμεν, τὸ κλυδώνιον στόρεσον, ἀσθενειῶν, Βαπτιστὰ, ταῖς ἱκεσίαις σου.

Θεοτοκίον.

Σωμάτων μαλακίας καὶ ψυχῶν ἀῤῥωστίας, Θεογεννήτρια, τῶν πόθῳ προσιόντων τῇ σκέπῃ σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστὸν ἡμῖν ἀποτεκοῦσα.

### ᾨδὴ Η'. Τὸν Βασιλέα.

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς, Προφῆτα, βοῶντας, καὶ ἐξαιτουμένους τὴν σὴν ἐπιστασίαν.

Τῶν ἰαμάτων τὸ δαψιλὲς ἐπιχέεις, τοῖς πιστῶς ὑμνοῦσί σε, Προφῆτα, καὶ ἀνευφημοῦσι, Παμμάκαρ Ἰωάννη.

Τῆς σωτηρίας τὸν ἀρχηγὸν ἱκετεύων, τὸν Χριςὸν, Προφῆτα, μὴ ἐλλίπῃς, ὅπως ἐκ βασάνων ῥυσθῶμεν αἰωνίων.

Θεοτοκίον.

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους, Παρθένε, ὅθεν σὲ ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

### ᾨδὴ Θ'. Κυρίως Θεοτόκον.

Ῥοήν μου τῶν δακρύων μὴ ἀποποιήσῃς, ὁ ἐν ῥοαῖς Ἰορδάνου τὸν πάντων Θεὸν, συγκαταβάντα βαπτίσας, ὃν μεγαλύνομεν.

Κακώσεως δαιμόνων, τῆς ἀδιαλείπτως ἐκπιεζούσης Προφῆτά με λύτρωσαι, καὶ ἐπηρείας τῆς τούτων δεῖξον ἀνώτερον.

Ἰσχὺς καὶ θεραπεία, τῇ ἐξ ἀκρασίας καὶ χαλεπῆς ἁμαρτίας, Προφῆτα γενοῦ, κεκακωμένῃ ψυχῇ μου, ἵνα γεραίρω σε.

Θεοτοκίον.

Χαρᾶς μου τὴν καρδίαν, πλήρωσον, Παρθένε, ἡ τῆς χαρᾶς



δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίσασα.

Τὸ Ἄξιόν ἐστι καὶ τὰ παρόντα Μεγαλυνάρια

Ἄγονον καὶ ἄκαρπον τὴν ψυχὴν, κέκτημαι, Παμμάκαρ, φύλλα μόνον ἄνευ καρπῶν, ἔρημον ἁπάσης ἀγαθῆς ἐργασίας, Προφῆτα, ἀρετῶν με δεῖξον καρπούμενον.

Βαπτιστὰ καὶ Πρόδρομε τοῦ Χριστοῦ, λύχνε φαεσφόρε, ἱκετεύω σε Βαστιστὰ, λύχνον ἄναψόν μου ψυχῆς τῆς ταλαιπώρου· ἐσκοτισμένην οὖσαν σὺ καταλάμπρυνον.

Δέομαι, Προφῆτα καὶ Βαστιστὰ, μή με ὑπερίδῃς τὸν ἀνάξιον πρεσβευτὴν, καταβαπτισθέντα τοῖς πάθεσι τοῦ βίου καὶ ἐν βορβόρῳ ὄντα σὺ ἐξανάστησον.

Πρέσβευε Προφῆτα πρὸς τὸν Θεὸν, ὑπὲρ τοῦ λαοῦ σου καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, τῶν καταφευγόντων τῇ σκέπῃ σου τῇ θείᾳ, καὶ ῥῦσαι πάσης νόσου καὶ περιστάσεως. Θεοτοκίον.

Δέσποινα καὶ Μήτηρ τοῦ Λυτρωτοῦ, δέξαι παρκλήσεις ἀναξίων σῶν οἰκετῶν, ἵνα μεσιτεύσῃς πρὸς τὸν ἐκ σοῦ τεχθέντα· ὢ Δέσποινα τοῦ Κόσμου, γενοῦ μεσίτρια.

Τρισάγιον. Καὶ τὸ Τροπάριον, ἦχος Β'.

Μνήμη δικαίου μετ' ἐγκωμίων, σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου, Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιότερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν Ἅδῃ Θεὸν φανερωθέντα ἐν σαρκὶ, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ Κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Ὁ Ἱερεὺς μνημονεύει ὡς ἔθος.

Ἐν τῇ Ἀπολύσει, προσκυνοῦντες τὴν ἁγίαν Εἰκόνα ψάλλομεν τὸ παρὸν

Προσόμοιον Ἦχος Β'.

### Ὅτε ἐκ τοῦ ξύλου Σε νεκρόν.

Σπεῦσον ἐξελοῦ με πειρασμῶν, Πρόδρομε Κυρίου Παμμάκαρ, καθικετεύω σε, μάτην γὰρ κεκίνηνται οἱ πολεμοῦντές με, κατ' ἐμοῦ πικροὶ δαίμονες, ζητοῦντες ἁρπάσαι τὴν ψυχὴν τοῦ δούλου

www.tezaurliturgic.ro



σου, ὥσπε στρουθίον οἰκτρόν. Μή με καταλίπῃς εἰς τέλος, γνώτωσαν δὲ μᾶλλον, Προφῆτα, ὅτι σύ μου πέλεις καταφύγιον.

ΤΕΛΟΣ.

# ΕΤΕΡΟΣ

## ΕΙΣ ΤΟΝ ΙΕΡΑΡΧΗΝ ΣΑΒΒΑΝ

ΠΡΩΤΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΕΡΒΙΑΣ ΚΑΙ ΚΤΙΤΟΡΑ ΤΗΣ ΕΝ ΑΓΙΩ ΟΡΕΙ ΜΟΝΗΣ ΤΟΥ ΧΙΛΙΑΝΔΑΡΙΟΥ.

(Ἑορταζόμενον τῇ 14 Ἰανουαρίου).

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τόν, Εὐλογητόν, τό, Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΤΟΝ τῆς Σερβίας Ἱεράρχην τὸν πρῶτον, τὸν ψυχοτρόφον ποταμὸν ἐγκρατείας, τῆς Χιλιανδαρίου δομήτορα Μονῆς, πάντες εὐφημήσωμεν πρὸς αὐτὸν ἐκβοῶντες, ῥῦσαι, Σάββα, θλίψεων τοὺς σοὺς δούλους καὶ νόσων, τοὺς μετὰ πόθου πλείστου καὶ χαρᾶς ἐπιτελοῦντας τὴν πάνσεπτον Μνήμην σου.

Δόξα. Καὶ Νῦν. Θεοτοκίον. Τῇ Θεοτόκῳ. . . .

Ὁ Ν΄. Καὶ ὁ Κανὼν ἔχων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις ΣΕΡΑΦΕΙΜ.

ᾠδὴ Α΄. ἦχος Πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ταῖς τῶν παθῶν με τρικυμίαις πάντοθεν περικυκλούμενον, καὶ λογισμῶν σάλῳ τὴν ψυχὴν δονούμενον, ἐπὶ λιμένα εὔδιον τῶν Χριστοῦ θελημάτων σαῖς ἱκεσίαις κυβέρνησον, Σάββα Ἱεράρχα Πανένδοξε.

Ἱερωσύνης κοσμηθεὶς ταῖς χάρισι, Σάββα Πανεύφημε, τῷ



τοῦ Θεοῦ Λόγῳ εὐηρέστης πάντοτε ἐκ βρέφους δι' ἀσκήσεως· τοῖς αὐτοῦ ζωηφόροις· διὸ κἀμὲ θείοις ἴχνεσιν, ἕπεσθαι ἀεὶ καταξίωσον.

Ἀποῤῥαγεὶς τῆς ἐπικήρου σχέσεως καὶ κολληθεὶς ἀληθῶς τῷ τοῦ Χριστοῦ πόθῳ, τῆς σαρκὸς τὸ φρόνημα διὰ νηστείας ἔτηξας· ἀρεταῖς οὖν εὐχαῖς τε ἐγκαρτερῆσαι ἀξίωσον, κἀμέ, Σάββα Πάτερ, πρεσβείαις σου. Θεοτοκίον.

Σὲ τὴν τεκοῦσαν ὑπὲρ νοῦν, Πανάσπιλε τὸν ἀδιαίρετον Θεοῦ Πατρὸς Λόγον, διαπύρῳ ἔρωτι, ποθῶν Σάββας ὁ πάνσοφος, φωτοφόρον δοχεῖον Ἁγίου Πνεύματος γέγονε, θείαις ἀρεταῖς ἐλλαμπόμενος.

ᾠδὴ Γ΄. Οὐρανίας ἁψῖδος.

Οὐρανίους θαλάμους φωτοειδεῖς ᾤκησας, καὶ σὺν Ἱεράρχαις, Σάββα θεόφρον, ἀγάλλῃ νῦν· ὅθεν ἰάσεων τοὺς ποταμοὺς ὑμῖν βλύσον, νοσημάτων ῥεύματα ἀποξηραίνοντας.

Τὸν Θεσβίτην ζηλώσας καὶ Μωϋσῆν, Πάνσεπτε, μῆκος ἡμερῶν ὡς ἐκεῖνοι νηστείαν ἤνυσας· ἄρτῳ διὸ κἀμὲ θεωριῶν Οὐρανίων, ἀεὶ ἐντρυφᾷν ταῖς λιταῖς σου ἀξίωσον.

Τῶν λειψάνων ἡ κόνις τῶν σῶν τυφλοῖς τὴν ἀνάβλεψιν καὶ τοῖς ἀσθενοῦσιν ἀναπηγάζει τὴν ἴασιν, τοῖς προσπελάζουσι καὶ αἰτουμένοις σὴν χάριν, Σάββα Ἱερώτατε, Σέρβων τὸ καύχημα. Θεοτοκίον·

Εὐχαρίστοις φωναῖς σε δοξολογοῦμεν, Πανάχραντε, ὡς καλῶν παντοίων ἡμῖν ὑπάρξασαν πρόξενον, καὶ τὴν ἁγίαν σου καταφιλοῦντες Εἰκόνα, ἐκ δεινῶν ῥυόμεθα ταῖς ἱκεσίαις σου.

ᾠδὴ Δ΄. Σύ μου ἰσχὺς Κύριε...

Ὄφιν δεινὸν τὸν νοητὸν ἐθανάτωσας, προσευχῇ σου, Σάββα Ἱερώτατε, κατασυντρίψας τοῦ πονηροῦ μηχανὰς παντοίας· διὸ κἀμὲ ἐνδυνάμωσον, πρεσβείαις σου ἐνθέοις, τοῦ πατεῖν ἀνενδότως τοῦ ἐχθροῦ δολερὰ μηχανήματα.

Θείων ἀνδρῶν βίον καὶ τρόπους μιμούμενος, θείῳ σθένει,

www.tezaurliturgic.ro



νηστεύων διήνυσας, Σάββα κλεινὲ, ἡμέρας πολλάς· διὸ σαῖς πρεσβείαις κἀμὲ νηστείᾳ ἀξίωσον, σαρκὸς ἐπαναστάσεις τῶν παθῶν θανατῶσαι, καὶ βιῶναι ζωὴν ἐπουράνιον.

Πόνοις δεινοῖς ἐγκαρτερήσας ἀσκήσεως, χάριν θείαν εἴληφας, μακάριε, ἀποσοβεῖν πάσας τῶν ψυχῶν καὶ σαρκὸς τὰς νόσους, καὶ σθένει θείῳ τὰ πνεύματα διώκειν τῶν δαιμόνων· διὸ αἴτησαι πᾶσι δωρηθῆναι τὴν ῥῶσιν καὶ ἔλεος. Θεοτοκίον.

Ρεῖθρον ζωῆς ἔσχες ἐν μήτρᾳ σαρκούμενον, τὸν τὸ εἶναι πᾶσι παρεχόμενον, ᾧ ἐπεθόθησεν ἐκ ψυχῆς, Σάββας ὁ θεόφρων ἀκολουθῆσαι ἐν πνεύματι· Παρθένε Θεοτόκε, τῶν Ἀγγέλων τὸ θαῦμα, καὶ δαιμόνων τὸ τραῦμα, Πανάσπιλε.

## ᾨδὴ Ε'. Ἵνα τί με ἀπώσω...

Ἀπεξήρανας ῥεῖθρα, τὰ τῆς ἁμαρτίας δακρύων προχύσεσι, Χιλιανδαρίου τῆς Μονῆς Κτίτωρ, Σάββα γενόμενος· διὸ τοὺς ἐν ταύτῃ ἐνασκουμένους περιφρούρει, καταρδεύων αὐτοὺς θείᾳ χάριτι.

Ἀλουργίδα, Παμμάκαρ, ἀνακτορικὴν θεοσόφως κατέλιπες, καὶ ἐνηγκαλίσθης τῆς ἀσκήσεως πόνους, πανόλβιε· κἀμὲ ἐκνικῆσαι σάρκα καὶ Κόσμον καὶ Βελίαρ, τοὺς τρεῖς τούτους ἐχθρούς μου ἀξίωσον.

Ὁλοτρόπως Κυρίῳ πᾶσαν ἀναθέμενος τὴν σὴν διάνοιαν, ὀφθαλμοὺς νοός σου καὶ καρδίας αὐτῷ ἐνητένιζες· διὸ τῶν γηΐνων πάντων κἀμὲ καταφρονῆσαι, καὶ πρὸς Θεὸν ἀτενίζειν ἀξίωσον. Θεοτοκίον.

Ἀνωτέρα τῶν ἄνω πέφυκας Δυνάμεων, Λόγον κυήσασα τοῦ Πατρὸς Παρθένε, τὸν συνάναρχον καὶ συναΐδιον· οὗ ταῖς λαμπηδόσι καταυγασθεὶς, ὁ θεῖος Σάββας τὴν ὁμίχλην δαιμόνων διέλυσεν.

## ᾨδὴ ΣΤ'. Ἱλάσθητί μοι Σωτήρ.

Τὴν χάριν παρὰ Θεοῦ ἀσκητικῶς, Σάββα πάνσοφε, ἀπήλαυσας ἀληθῶς, διὸ καὶ Ἐπίσκοπος πρῶτος ἐχρημάτισας τῆς Σερβίας πάσης, ἣν καὶ φύλαττε ἀπήμαντον.



Ὁ βίος σου φωταυγὴς ταῖς ἀρεταῖς κεκαλλώπισται, ὦ Σάββα Ἱερουργὲ, διὸ καὶ τοῖς θαύμασιν ἐστράψας ὡς ἥλιος, διώκεις χειμῶνα τῶν παθῶν σθένει τοῦ Πνεύματος.

Ἐξήσκησας ἀληθῶς τὴν εὐσεβῆ Πίστιν,, Πάντιμε, καὶ σέβας πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν πλησίον ἀγάπην ἀνόθευτον· διὸ σαῖς πρεσβείαις τούτων μέτοχόν με ποίησον. Θεοτοκίον.

Φιλάγαθε Μαριὰμ, Θεὸν τῶν ὅλων συνέλαβες, καὶ ἔφερες ἐν γαστρὶ τὸν φύσει ἀσώματον, καὶ σαρκὶ ἐγέννησας τὸν Ποιητὴν πάντων, ὁρατῶν καὶ ἀοράτων τε.

Διάσωσον, Σάββα, λιταῖς σου, ἀπὸ παντοίας θλίψεως καὶ νόσου τοὺς πίστει τιμῶντάς σε, ὡς μέγας τῶν θλιβομένων προστάτης.

καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον. Ἦχος Δ'.

Τὴν ποίμνην σου, Πανόσιε, καὶ τὸν Σερβίας Λαὸν, καὶ πάντας τοὺς τιμῶντάς σε, Σάββα Θεόπνευστε, ταῖς πρὸς Θεὸν περίσωζε ἱκεσίαις σου, λυτρούμενος ἅπαντας ἐξ ἐπιβουλῆς τοῦ ἐχθροῦ καὶ παντοίων νοσημάτων καὶ θλίψεων, ὡς προστάτης Ὀρθοδόξων ἀκαταίσχυντος.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δ'.

Τὸ στόμα μου λαλήσει σοφίαν. . . .

Στίχος. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα. . . (Ζήτει Νοεμβρίου 13).

Δόξα. Ταῖς τοῦ Ἱεράρχου. . . Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. . . .

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμ.

Ἦχος Πλ. Β'. Ὅλην ἀποθέμενοι.

Ῥῦσαι τοὺς οἰκέτας σου ἐκ συμφορῶν καὶ κινδύνων, Σερβίας τὸ καύχημα, καὶ πιστῶν διάσωσμα, Σάββα πάνσοφε· τῆς Μονῆς ἔτι δὲ Χιλιανδαρίου ἱδρυτά τε καὶ κραταίωμα, πάντας ἐλέησον,

www.tezaurliturgic.ro



θερμαῖς σου πρεσβείαις καὶ ἔμπλησον, καρδίας τῶν ὑμνούντων σε, θείας φωταυγίας τοῦ Πνεύματος, ἵνα σε τιμῶμεν ὡς θεῖον Ἱεράρχην τοῦ Χριστοῦ, Ὀρθοδοξίας τε στήριγμα καὶ μέγα προπύργιον.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ.

## ᾨδὴ Ζ΄. Παῖδες Ἑβραίων.

Βίον φιλόθεον ἐκτήσω, Βασιλόπαι Σερβίας Φωστὴρ Σάββα, καὶ λαοὺς τῷ Χριστῷ προσήγαγες, καὶ ἤδη σοὺς δούλους διαφύλαξον ἐξ αἱρέσεως παντοίας.

Χεῖρα προτείνεις συμπαθείας καὶ παρέχεις ὑγείαν τοῖς νονοσοῦσι, τοῖς ἐν πίστει τῷ σῷ Λειψάνῳ προσιοῦσι, Σάββα Σερβίας σέμνωμα, Ἱεράρχα Θεοφόρε.

Θαύματα μέγιστα ἐτέλεις ὡς θεράπων Χριστοῦ Σάββα θεόφρον, ἐν τῇ θείᾳ Μονῇ τοῦ Χιλιανδαρίου, καὶ ἤδη τοὺς τιμῶντάς σε ταῖς λιταῖς σου ῥῦσαι νόσων. Θεοτοκίον.

Ἐπιδε, Μῆτερ, εἰς τὴν θλίψιν, ἣν ἐπήγαγε τὸ πλῆθος τῶν κακῶν μου, καὶ Γεέννης πυρὸς ἐξάρπασον σὸν δοῦλον, καὶ τῆς τοῦ Ἅδου λύτρωσαι καταδίκης, Θεοτόκε.

## ᾨδὴ Η΄. Τὸν Βασιλέα.

Οἱ τῇ Σωρῷ τῶν σεπτῶν σου Λειψάνων, προσπελάζοντες, ὦ Σάββα Ἱεράρχα, πάσας τὰς αἰτήσεις λαμβάνουσιν εὐχαῖς σου.

Τοὺς τῆς καρδίας μου ὀφθαλμοὺς φωτισθῆναι, καθικέτευε τοῦ ταπεινοῦ σου δούλου, τοῦ σὲ ἀνυμνοῦντος, Σάββα, Σέρβων προστάτα.

Τῶν ἰαμάτων σου τῶν ποικίλων τὴν χάριν νῦν κατάπεμψον σοῖς δούλοις, Βασιλόπαι, Χιλιανδαρίου ὁ Κτίτωρ Σάββα Πάτερ. Θεοτοκίον.

Ἴθυνον, Μῆτερ, πρὸς ἀρετὴν τοὺς σοὺς δούλους, τοὺς ὀρθῶς φρονοῦντάς σε Παρθένον, κεχαριτωμένην καὶ Θεοτόκον μόνην.

## ᾨδὴ Θ΄. Κυρίως Θεοτόκον.



Σορὸς ἡ τοῦ Λειψάνου τοῦ σοῦ, Σάββα Πάτερ, ῥεῖθρα πηγάζει παντοίων ἰάσεων, καὶ ἐπαρδεύει ἀεὶ τοὺς πόθῳ τιμῶντάς σε.

Τῷ φέγγει τῆς Τριάδος, Σάββα Βασιλόπαι, καταλαμπόμενος πάντας καταύγασον, τοὺς τὴν φωσφόρον σου Μνήμην πίστει γεραίροντας.

Νομίμως ὡς τὴν Ποίμνην Χιλιανδαρίου τὴν σὴν καὶ Σέρβους, ὦ Σάββα, ἐποίμανας, οὕτω καὶ νῦν οὐρανόθεν αὐτοὺς ἐπώπτευσον. Θεοτοκίον.

Μαρία Θεοτόκε, ἡ Θεὸν τεκοῦσα, τοὺς σοὺς οἰκέτας ἐκ πάσης δεόμεθα, νόσου καὶ θλίψεως ῥῦσαι ταῖς ἱκεσίαις σου.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Καὶ τὰ παρόντα Μεγαλυνάρια.

Σέρβων Ἱεράρχην τὸν θαυμαστὸν, Χιλιανδαρίου τὸν Πανεύφημον ἱδρυτὴν, Σάββαν εὐφημοῦμεν, δεόμενοι ῥυσθῆναι, κινδύνων ἀδοκήτων, αὐτοῦ ἐντεύξεσι.

Φύλαττε σὴν Ποίμνην, Σάββα κλεινὲ, τῶν Σέρβων τὸ γένος, ἐκ κινδύνων τε καὶ δεινῶν, θλίψεων καὶ νόσων, καὶ πάντας τοὺς τελοῦντας τὴν ἔνδοξόν σου Μνήμην, πάσης κακώσεως.

Ἔχοντες οἱ Σέρβοι τὸ Ἱερὸν Σκῆνός σου, ὦ Σάββα, ὡς προπύργιον ὀχυρὸν, προσφεύγουσι τούτῳ ἐν καιρῷ τῶν κινδύνων, καὶ τῆς σωτηρίας ὄντως τυγχάνουσι.

καὶ Θεοτοκίον **Πᾶσαι τῶν Ἀγγέλων.**

Τρισάγιον. Καὶ τὸ Τροπάριον. Ἦχος Πλ. Δ΄.

Τὸν Ἱεράρχην Κυρίου Σέρβων τὸ καύχημα τὸν Χιλιανδαρίου Λαῦραν ἐγείραντα, ἀνυμνήσωμεν Πιστοὶ Σάββαν τὸν πάνσοφον, ὅτι ἐνίκησε φρικτῶς Κόσμον, Βελίαρ ἐν εὐχαῖς καὶ σάρκα, καὶ νῦν πρεσβεύει ἐν Οὐρανοῖς διαμένων, ὑπὲρ ἡμῶν τῶν τιμώντων αὐτόν.

Ὁ Ἱερεὺς μνημονεύει.

Ἐν τῇ ἀπολύσει ψάλλομεν τὸ παρὸν ἦχος Β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν...

www.tezaurliturgic.ro



Ρῦσαι πάσης βλάβης καὶ λοιμοῦ, λιμοῦ καὶ πυρὸς καὶ μαχαίρας, καὶ δεινοτάτου σεισμοῦ, θλίψεως παντοίας τε, ἐπερχομένης φρικτῶς ἐκ δαιμόνων καὶ φύλαττε, πρεσβείαις σου θείαις, Σάββα Ἱερώτατε, τοὺς σοὺς θεράποντας· Σέρβων δὲ λαοὺς καὶ τὴν Ποίμνην Χιλιανδαρίου, παγίδων κρυπτῶν βροτοκτόνου ἀπολύτρωσαι.

ΤΕΛΟΣ.

---

# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

## ΑΝΤΩΝΙΟΝ ΤΟΝ ΜΕΓΑΝ.

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος· καὶ τὸ Τροπάριον Ἦχος Δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΤΟΝ ἀρχηγὸν τῶν Μοναστῶν καὶ ἀλείπτην, καὶ καρτερόψυχον ἐρήμου Πρωτάρχην, ἀνευφημοῦντες κράξωμεν αὐτῷ οἱ Πιστοί· Ἅγιε Ἀντώνιε, ταῖς πρεσβείαις σου πάσης, λύπης διασκέδασον, σκοτεινότατον νέφος, καὶ τὰς ἰάσεις δίδου συμπαθῶς, τοῖς ἀσθενοῦσι καὶ πόθῳ σε μέλπουσι.

Δόξα· καὶ νῦν Θεοτοκίον.

Τῇ Θεοτόκῳ ἐκτενῶς...

Ὁ Ν΄. Καὶ ὁ Κανὼν Ἦχος Πλ. Δ΄. οὗ ἡ Ἀκροστιχίς.

Ἀντώνιον τὸν Θεῖον εὐφημεῖν θέμις.

Ὠδὴ Α΄. Ἦχος πλ. Δ΄. Ἁρματηλάτην Φαραώ.

Ἀθανασίας καὶ ζωῆς λαβόμενος τῆς αἰωνίου σαφῶς, καὶ τρισυποστάτου αἴγλης ἐμφορούμενος τῷ φωτισμῷ τῆς χάριτος, τὴν



ζοφώδη ψυχήν μου, καταυγασθῆναι δυσώπησον, Πάτερ τῶν Πατέρων Ἀντώνιε.

Νέος ὑπάρχων ἡλικίᾳ σώματος, καινὴν ὁδὸν ἀρετῆς περιπατῶν, Πάτερ, ἀκινδύνως ἔφθασας εἰς Οὐρανοὺς, Ἀντώνιε, τῷ Σωτῆρι πρεσβεύων, ὑπὲρ τῶν πίστει τὴν Μνήμην σου, καὶ πόθῳ τελούντων πανόλβιε.

Τρισυποστάτῳ λαμπηδόνι, Πάνσεμνε, ἀεὶ λαμπόμενος, τὸ δυσμενὲς ἅπαν τῶν δαιμόνων φρύαγμα, καὶ τῶν ἐχθρῶν τὴν ἔπαρσιν, καὶ τὰς νόσων ἐφόδους, ἐκ τῶν σῶν δούλων ἀπέλασον, θείαις σου πρεσβείαις, Ἀντώνιε.

Θεοτοκίον.

Ὡς Θεοῦ Μήτηρ παῤῥησίαν ἔχουσα, πρὸς τὸν σὸν Τόκον Ἁγνὴ, Μονογενῆ Λόγον τοῦ Πατρὸς ὑπάρχοντα, καὶ συμφυῆ τῷ Πνεύματι, δυσωποῦσα μὴ παύσῃ νόσων δεινῶν τε καὶ θλίψεων, σῶσαι τοὺ πιστῶς σε δοξάζοντας.

Ὠδὴ Γ΄. Ὁ στερεώσας κατ' ἀρχάς.

Νενευρωμένῳ λογισμῷ καὶ σταθηρᾷ διανοίᾳ τῶν παθῶν καχαμαράνας τὴν φλόγα, Οὐρανοὺς περιπολεῖς ἀοίδιμε Ἀντώνιε, ὑπὲρ ἡμῶν πρεσβεύων τῶν μετὰ πόθου ὑμνούντων σε.

Ἰσχυροτάτας προσβολὰς δαιμόνων θρασυνομένων, καὶ θηρίων τὰς ὁρμὰς μιμουμένων, ὡς κατῄσχυνας Σοφὲ, κἀμὲ δὴ ἐνδυνάμωσον καταφρονῆσαι οὕτω, δόλους αὐτῶν καὶ τεχνάσματα.

Ὁ Μοναζόντων ἀρχηγὸς τοῦ σκότους τὰς ἐξουσίας, ἐγκρατείᾳ θριαμβεύσας συντόνῳ, νικητὴς ὡς ἀληθῶς Ἀτώνιος ἐγένετο, ὑπὲρ τῶν Ὀρθοδόξων, Θεῷ πρεσβεύων ἀείποτε.

Θεοτοκίον.

Νενεκρωμένον μου τὸν νοῦν, τῇ τῆς ζωῆς ἐνεργείᾳ, τῆς ἐκ σοῦ φανερωθείσης ἐν Κόσμῳ, ἐξανάστησον, Ἁγνὴ, καὶ πρὸς ζωὴν ὁδήγησον· σὺ γὰρ τῇ τοῦ Υἱοῦ σου ἰσχύϊ Ἅδην κατέλυσας.

Ὠδὴ Δ΄. Σύ μου ἰσχὺς Κύριε. . .

Τῶν ἀρετῶν, κλίμακι θείᾳ χρησάμενος, σὺ ἀνῆλθες, Πάτερ,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΝΤΩΝΙΟΣ ΓΑΣΤΟΡΗΣ ΠΑΠΑ

www.tezaurliturgic.ro



εἰς Οὐράνια, καὶ τὸν Θεὸν εἶδες καθαρῶς· ὃν νῦν ἐκδυσώπει ὑπὲρ σῶν δούλων, Ἀντώνιε, τυχεῖν τῆς σωτηρίας καὶ ἀφέσεως πάντων ψυχικῶν μολυσμῶν καὶ κακώσεων.

**Ο**λος Θεῷ ὑποταγεὶς, ὦ Ἀντώνιε, μόνος μόνῳ, Πάνσεπτε, ἑνούμενος δι' ἀρετῆς, καὶ καθομιλῶν, καὶ ἀντὶ γηΐνου ἀξιωθεὶς τὴν οὐράνιον ἀπόλαυσιν ἀξίως, τοῖς πιστῶς σε ὑμνοῦσι, βραβεύεις σωτηρίαν, ταῖς θείαις σου πρεσβείαις.

**Ν**οῦν καὶ ψυχὴν μεμολυσμένος ὢν, Ὅσιε, τὴν ἀπάτην ἔχων κυριεύουσαν τοὺς λογισμούς μου ὁ δυστυχὴς, καὶ τὰς φαντασίας τῶν δυσμενῶν ἐχθρῶν πάντοτε, πρὸς σὲ νῦν καταφεύγω, τὸν θερμόν μου προστάτην, ἐλπίζων ταῖς εὐχαῖς σου, τυχεῖν τῆς σωτηρίας.

Θοτοκίον.

**Θ**εὸν ἐκ σοῦ τὸν σαρκωθέντα δυσώπησον, τὸν ἀτρέπτως, ὃ ἦν διαμείναντα, καὶ φυσικῶς αὐτῷ τῷ Πατρί, καὶ σοὶ τῇ Τεκούσῃ, γενόμενον ὁμοούσιον, ψυχῶν τὴν σωτηρίαν, καὶ σωμάτων ὑγείαν, ἡμῖν τοῖς σὲ ὑμνοῦσι δωρήσασθαι, Παρθένε.

## ᾠδὴ Ε΄. Ἵνα τί με ἀπώσω.

**Ε**νοικοῦντάς σοι ἔχων πάντας τοὺς Μονάσαντας, ἀΰλους Νόας τε, καὶ ἀπολαμβάνων τὴν Οὐράνιον δόξαν, Ἀντώνιε, μέμνησω τῶν πίστει καὶ πόθῳ σε ὑμνολογούντων, καὶ τῆς δόξης ἐκείνης ἀξίωσον.

**Ι**αμάτων τὴν χάριν κατ' ἀσθενειῶν ἀνιάτων ὡς ἔλαβες, καὶ κατὰ δαιμόνων ἐκ θεοῦ ἐξουσίαν, Ἀντώνιε, οὕτως ἐκ σῶν δούλων δαιμόνων δόλους καὶ ἐφόδους τὰς τῶν νόσων, ὦ Πάτερ ἐξάλειψον.

**Ι**λασμόν μοι παράσχου τῶν ἀτοπημάτων, λιταῖς σου, Ἀντώνιε, καὶ ἐλέησόν με, καὶ τὰ ἕλκη ψυχῆς μου θεράπευσον, καὶ ἀπεγνωσμένον ὄντα ἐκλύτρωσαί με τάχει, ἀρετῶν τ' ἐνδιαίτημα ποίησον.

Θεοτοκίον.

**Ο**ἱ σὲ σκέπην πλουτοῦντες, καὶ τῇ σῇ πρεσβείᾳ ἀεὶ ἐγκαυχώμενοι, ἀεννάως, Κόρη, σὲ ὑμνοῦμεν, καὶ πόθῳ γεραίρομεν.



Σὺ γὰρ εἶ, Παρθένε, μόνη ἐλπὶς τῶν Ὀρθοδόξων, τεῖχος, δόξα, τιμή τε καὶ καύχημα,

## ᾠδὴ ΣΤ΄. Ἄβυσσος ἁμαρτιῶν.

**Ν**όμιμον ἀσκητικῶς πολιτείαν ἁπαλῶν ἐξ ὀνύχων, ἀναλαβὼν, ὦ Πάτερ, δόξης θείας ἠξίωσαι, καὶ ὡς θεῖος ἀριστεὺς στέφος ἀπείληφας τὸ τῆς νίκης, ὑπὲρ ἡμῶν ἀεὶ δεόμενος.

**Ε**χοντες πρὸς τὸν Θεὸν ἰσχυρόν σε πρεσβευτὴν, ὦ θεόφρον, καὶ τῶν κινδύνων ῥύστην καὶ προστάτην καὶ πρόμαχον, καταφεύγοντες εἰς σὲ πάντων λυτρούμεθα ἀδοκήτων,, νόσων παντοίων καὶ κακώσεων.

**Υ**ψιστος ἐπὶ τῆς γῆς σὺ γενόμενος ἐν θαύμασι θείοις, τὰ πονηρὰ τοῦ σκότους φυγαδεύεις νῦν πνεύματα, καὶ καθαίρεις τὰς πολλὰς ἡμῶν, Ἀντώνιε, ἀσθενείας, καὶ μολυσμοὺς ψυχῆς καὶ σώματος.

Θεοτοκίον.

**Υ**ψώσας παναληθῶς τὴν πεσοῦσαν τῶν ἀνθρώπων οὐσίαν, ὦ Παναγία Κόρη, τὸν Θεὸν γαλουχήσασα· τοῦτον οὖν ὑπὲρ ἡμῶν, τυχεῖν ἀφέσεως ἐγκλημάτων, διηνεκῶς δυσώπει, Πάναγνε.

**Α**ντώνιε, τῶν Μοναζόντων ἔξαρχός τε καὶ κλέος, ἐν ταῖς ἀπαύστοις εὐχαῖς σου μνημόνευε, ἡμῶν τῶν πίστει σε ἀνυμνούντων.

Καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β΄.

**Φ**ωτὶ τῷ ἀπροσίτῳ καταλαμπόμενος, ὡς ἀστὴρ ἐξέλαμψας ἐν τῇ ἐρήμῳ, Πανεύφημε· διὸ καὶ τοὺς βιωτικοὺς θορύβους καταλιπὼν, καὶ τὸν Σταυρὸν ἐπ' ὤμων ἀράμενος, καταφωτίζεις, διδαχαῖς σου, Ἀντώνιε, τοὺς εὐσεβῶς σοι προσπελάζοντας.

Καὶ εὐθὺς τὸ Προκείμενον. ἦχος, δ΄.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχος. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων;

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

www.tezaurliturgic.ro



Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ. . . . κτλ. (Ζήτει Ἰανουααίου 17).

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον

Ἦχος Πλ. β΄. Ὅλην ἀποθέμενοι...

**Μ**ὴ παύσῃ δεόμενος τοῦ Λυτρωτοῦ καὶ Δεσπότου, Ἀντώνιε Ὅσιε, τοῖς τὴν θείαν Μνήμην σου ἑορτάζουσι, πᾶσι δωρήσασθαι ἄφεσιν πταισμάτων, αἰωνίαν ἀπολύτρωσιν, τῶν χαρισμάτων τε τῶν πνευματικῶν τὴν μετάδοσιν, παθῶν τε τὴν κατάφλεξιν τῶν φρυγόντων νῦν τὴν καρδίαν ἡμῶν, ψυχῶν σωτηρίαν, καὶ θείαν προστασίαν, Ἀγαθὲ, ἵνα ὑμνῶμεν γηθόμενοι τὴν θείαν σου Κοίμησιν.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου, κτλ.

ᾠδὴ Ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

**Φ**οίνιξ ὥσπερ ἐν οἴκῳ δίκαιος Κυρίου, ὦ Πάτερ, ἐξήνθησας, καρποὺς δικαιοσύνης, ἐξ ὧν οἱ σὲ ὑμνοῦντες διατρέφονται ψάλλοντες· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητός εἶ.

**Φ**ωτεινῆς ἐπιπνοίας ἐμφορούμενος, Πάτερ, τοῦ θείου Πνεύματος, τὰ πνεύματα διώκεις, τὰς νόσους θεραπεύεις, τῶν θερμῶς προσιόντων σοι, καὶ προσκυνούντων πιστῶς τὴν θείαν σου Εἰκόνα.

**Η**λθοσαν τῶν ἀτόπων πράξεών μου ὕδατα ἕως, Ἀντώνιε, ψυχῆς μου τῆς ἀθλίας, ἰλύϊ κρατουμένης τῶν παθῶν καὶ τῶν θλίψεων· μὴ ὑπερίδῃς τὸν σὸν δοῦλον, ἀλλ' οἴκτειρόν με.

Θεοτοκίον.

**Μ**αριὰμ Θεοτόκε, τὸν πρὸ πάντων αἰώνων ἐκυοφόρησας, ἡμῖν ὁμοιωθέντα, δι' ἄκραν εὐσπλαγχνίαν, ἵνα σώσῃ τοὺς ψάλλοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητός εἶ.

ᾠδὴ Η΄. Τὸν Βασιλέα.

**Ε**ν τοῖς ὑψίστοις μετὰ Ἀγγέλων χορεύων, Παμμακάριστε Ἀντώνιε πάντας, τοὺς σὲ ἀνυμνοῦντας, διάσωζε εὐχαῖς σου.



**Ι**κετηρίους διηνεκῶς ὑμνῳδίας πρὸς τὸν Κτίστιν προσάγων, ὦ Πάτερ, μέμνησο τῶν πίστει σε ἀνυμνολογούντων.

**Ν**αμάτων θείων τῆς εὐποιΐας, ὦ Πάτερ, ἐξαπόστειλον ἡμῖν τοῖς σοῖς δούλοις, καὶ δεινῶν παντοίων ἀπάλλαξον εὐχαῖς σου.

Θεοτοκίον.

**Θ**εογεννῆτορ τῆς ψυχῆς μου τὰ πάθη, καὶ τὰ τραύματα θεράπευσον ἐν τάχει, καὶ τῆς ἁμαρτίας οὐλὰς ἐξάλειψόν μου.

ᾠδὴ Θ΄. Κυρίως Θεοτόκον.

**Ε**νθέως ἐκτελοῦντες τὴν θείαν σου Μνήμην, Πάτερ Πατέρων Ἀντώνιε Ὅσιε, χαρᾶς ἀπείρου καὶ δόξης ὅλως πληρούμεθα.

**Μ**ὴ παύσῃ ἱκετεύων τὸν Θεὸν τῶν ὅλων, σεβασμιότατε Πάτερ Ἀντώνιε, λύσιν πταισμάτων δωρήσασθαι ταῖς ψυχαῖς ἡμῶν.

**Ι**άσεως τῶν νόσων τεύξονται οἱ πόθῳ τῇ σῇ Εἰκόνι Πανόσιε τρέχοντες, καὶ μετὰ πόθου καὶ πίστεως ἀνυμνοῦντές σε.

Θεοτοκίον.

**Σ**ὺ εἶ Παρθενομῆτορ, ἰσχὺς τῆς ψυχῆς μου, καὶ τοῦ νοός μου ἐλπὶς ἀκαταίσχυντος, φῶς καὶ ζωὴ καὶ παράκλησις τῆς καρδίας μου.

Τὸ, Ἄξιόν ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

**Τ**ὸν τῶν Μοναζόντων ὑπογραμμὸν, καὶ τὸν τῆς ἐρήμου πολιοῦχον καὶ οἰκιστὴν, στήλην σωφροσύνης καὶ ὁσίων τὸ κλέος, Ἀντώνιον τὸν Μέγαν ἀνευφημήσωμεν.

**Ε**χων παῤῥησίαν πρὸς τὸν Θεὸν, τῶν σοὶ προσιόντων τὰ αἰτήματα συμπαθῶς, τὰ πρὸς σωτηρίαν δίδου ταῖς σαῖς πρεσβείαις, Ἀντώνιε Ὁσίων τὸ ἐγκαλλώπισμα.

**Π**ρεσβείας προσάγαγε τῷ Θεῷ, Ἀντώνιε Πάτερ, ὑπὲρ πάντων τῶν εὐσεβῶν, τῶν πίστει τελούντων τὴν θείαν Κοίμησίν σου, καὶ σῶσον ἐκ κινδύνων καὶ πάσης θλίψεως.

Καὶ Θεοτοκίον. Ψάλλομεν προθύμως σοι τὴν ᾠδήν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣ...

www.tezaurliturgic.ro



Τρισάγιον. εἶτα τὸ Τροπάριον Ἦχος Δ'.

Τὸν ζηλωτὴν Ἠλίαν τοῖς τρόποις μιμούμενος. . . κτλ. (Ζήτει Ἰανουαρίου 17).

Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύει.

Ἐν τῇ Ἀπολύσει, καὶ τῇ προσκυνήσει τῆς ἁγίας Εἰκόνος, ψάλλομεν τὸ παρὸν

Προσόμοιον Ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Πάντων προστατεύεις, Ἀγαθὲ, τῶν σοὶ προσιόντων ἐν πίστει καὶ δεομένων σου· ἔλαβες τὴν χάριν γὰρ παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ ἰᾶσθαι νοσήματα ποικίλα καὶ πάθη, δαιμόνων τε φρύαγμα καταφρονεῖν καὶ θηρῶν. Ὅθεν σοῦ δεόμεθα πάντας, καὶ ἡμᾶς τοὺς σὲ ἀνυμνοῦντας, κινδύνων, Ἀντώνιε ἀπάλλαξον.

ΤΕΛΟΣ.

---

# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ

## ΑΘΑΝΑΣΙΟΝ ΤΟΝ ΜΕΓΑΝ

ΠΑΤΡΙΑΡΧΗΝ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ'.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ. . .

ΤΟΝ Ἱεράρχην καὶ Ποιμένα τὸν ἄκακον, οἱ διαφόροις πειρασμοῖς συνεχόμενοι, ἐκλιπαροῦντες κράξωμεν ἐκ βάθους ψυχῆς, Πάτερ Ἀθανάσιε, ἱκεσίαις σου ῥῦσαι ἡμᾶς ἐκ περιστάσεως, νόσων τε καὶ κινδύνων, καὶ πάσης ἄλλης βλάβης καὶ φθορᾶς, ὡς παῤῥησίαν ἔχων πρὸς Κύριον.



Δόξα. καὶ Νῦν Θεοτοκίον. Τῇ Θεοτόκῳ. . . .

Εἶτα ὁ Ν'. καὶ ὁ κανὼν οὗ ἡ Ἀκροστιχίς.

« Ἀθανάσιον ὑμνῶ, ἀρετὴν αἰνῶ. »

Καὶ ἐν τοῖς Θεοτοκίοις ΣΕΡΑΦΕΙΜ.

ᾠδὴ Α'. Ἁρματηλάτην Φαραώ. . .

Ἀνατολῆς τῶν ἀρετῶν γενόμενος ἥλιος ἄδυτος, Ἀθανάσιε Πάτερ, τοῖς νῦν πρὸς τὴν σκέπην σου, ἐν πίστει καταφεύγουσι, φωτισμὸν σωτηρίας μετάδος ταῖς σαῖς δεήσεσι, λύων τὴν ἀχλὺν τῶν παθῶν ἡμῶν.

Θηριωδῶς τε καὶ ἀσέμνως ἅπαντα σχεδὸν τὸν βίον μου, καταδαπανήσας ὁ μωρὸς καὶ ἄσωτος εἰς ἐμαυτὸν γενόμενος, τῇ Πηγῇ σου προστρέχω, καὶ σοὶ βοῶ, Ἀθανάσιε, σῶσόν με θερμαῖς σου δεήσεσιν.

Ἀξιοχρέως τὴν ᾠδὴν ὑφαίνομεν Πηγῇ σου τῇ ἱερᾷ· διὸ καὶ πρὸς ταύτην, Πάτερ Ἀθανάσιε, ἐν πίστει καταφεύγομεν, ἐξαιτούμενοι χάριν ἡμῖν δοθῆναι καὶ ἄφθονον, ῥῶσιν δι' αὐτῆς τῶν παθῶν ἡμῶν. Θεοτοκίον.

Στρέψον ἐμοὶ τὸν κοπετὸν τῆς νόσου μου εἰς ὑγιείας χαράν· τὸν σκοτεινὸν σάκκον τὸν τῆς καχεξίας μου, Παρθένε διαῤῥήξασα, τὴν φαιδρὰν εὐεξίας, περίζωσον εὐφροσύνην με, καὶ ἀγαλλιάσεως πλήρωσον.

ᾠδὴ Γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Νῦν τὸν κακὸν ὁ ἀγαθὸς, τὸν ἐν πολλῇ ἀσπλαγχνίᾳ, ὁ ἀκένωτος κρατὴρ τοῦ ἐλέους, τὸν αἰσχρὸν τὸν ῥυπαρὸν, ὁ καθαρὸς ἀπόπλυνον, Ἀθανάσιε Πάτερ, καὶ ταῖς πρεσβείαις σου σῶσόν με.

Ἀειλαμπὴς ὥσπερ ἀστὴρ, ἀνατολαῖς τῶν θαυμάτων, καταυγάσας τὴν ὑφήλιον πᾶσαν, τῶν παθῶν ἡμῶν, Σοφὲ, τὸν σκοτασμὸν ἀπέλασον, καὶ πειρασμῶν ὁμίχλην, ταῖς σαῖς λιταῖς διασκέδασον.

Σὲ ἀνυμνῶ πανευλαβῶς καὶ γοερῶς ἱκετεύω, ἐξελοῦ με ἐκ-

www.tezaurliturgic.ro



βοῶν τὸν σὸν δοῦλον, Ἀθανάσιε Σοφέ, κινδύνων τε καὶ θλίψεων, ταῖς θείαις σου πρεσβείαις, καὶ τῆς μελλούσης κολάσεως.

Θεοτοκίον.

Εἰ καὶ κατήντησα, Σεμνή, εἰς λάκκον ταλαιπωρίας, καὶ εἰς βόθρον ἀπογνώσεως ὅλος· ἀλλ' εἰδὼς σου τὴν πολλὴν καὶ ἄμετρον συμπάθειαν, χεῖράς σοι ἀνατείνω· ὅθεν οἰκτείρασα σῶσόν με.

ᾨδὴ Δ'. Σύ μου ἰσχὺς Κύριε...

Ἱλαστικὰ δέχου σοῦ δούλου ἐγκώμια, Ὀρθοδόξων στύλε καὶ κραταίωμα καὶ καταφύγιον ἀψευδές, καὶ κατεγνωσμένῳ ἐμοὶ γενοῦ ἱλαστήριον, καὶ ῥῦσαί με τοῦ Ἅδου τῆς πικρᾶς καταδίκης ταῖς λιταῖς σου, Σοφὲ Ἀθανάσιε.

Ὁ στεναγμοὺς Νινευϊτῶν προσδεξάμενος Παντοκράτωρ Θεός τε καὶ Κύριος, τὴν ὀφειλὴν τῶν ἁμαρτιῶν, πᾶσαν τὴν ἐκείνων, ἀφῆκε, Πάτερ, ὡς εὔσπλαγχνος. Διό σε ἱκετεύω, ἐξιλέωσαι τοῦτον, παραβλέψαι κἀμοῦ τὰ ἐγκλήματα.

Νόσου δεινῆς, πυρὸς σεισμοῦ τε καὶ θλίψεως, καὶ παντοίας βλάβης, Ἀθανάσιε, τὸν σὸν οἰκέτην ἐκλιπαρῶ, ἀπάλλαξον τάχος, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου, καὶ ῥῦσαί με τῆς τούτων χαλεπῆς τυραννίδος, καὶ θανάτου ἀώρου ἐξάρπασον. Θεοτοκίον.

Ῥῶσιν ψυχῆς, ῥῶσίν μοι σώματος δώρησαι, ἵνα πράττω καὶ ποιῶ τὸ θέλημα τοῦ σοῦ Υἱοῦ φόβῳ καὶ χαρᾷ· καὶ γὰρ ἐξισχύεις, ὡς Μήτηρ οὖσα τοῦ Κτίστου μου, καὶ πράττεις ὅσα θέλεις, τοῖς ἐν πίστει καὶ πόθῳ τῇ σῇ σκέπῃ, Παρθένε, προστρέχουσιν.

ᾨδὴ Ε'. Ἵνα τί με ἀπώσω...

Ὑλακὴν τὴν Ἀρείου, τοῦ παραφρονήσαντος σοφῶς ἐφίμωσας, τοῦ Πατρὸς τὸν Λόγον ὁμοούσιον, σὺ Ἀθανάσιε, ἐκδιδάξας σέβειν· ὃν ἱλεούμενος μὴ παύσῃ, ἀβλαβεῖς συντηρεῖσθαι τοὺς δούλους σου.

Μὴ παρίδῃς με, Πάτερ, πλείσταις περιστάσεσι, ζάλαις καὶ θλίψεσι, πανταχόθεν οἴμοι! συνεχόμενον καὶ πιεζόμενον, ἀλλὰ



φρούρησόν με ὑπὸ τὴν σκέπην σου τὴν θείαν, καὶ ταῖς θείαις πρεσβείαις σου σῶσόν με.

Νομοθέτης κατέστης, καὶ τῶν εὐσεβούντων φωστήρ, Ἀθανάσιε· διό σοι βοῶμεν, ταῖς λιταῖς σου ἡμᾶς καθοδήγησον, εἰς ὁδὸν εὐθεῖαν τῶν τοῦ Κυρίου θελημάτων, καὶ κακίας δαιμόνων ἐξάρπασον. Θεοτοκίον.

Ἁμαρτίαις ἐπαύξω, ἄλλας ἁμαρτίας ὁ τλήμων ἑκάστοτε, καὶ ἐπισυνάγω τῆς Γεέννης τὸ πῦρ τὸ ἀνύποιστον, ἐν τῇ παναθλίᾳ ἐμοῦ ψυχῇ, ἀφ' οὗ με ῥῦσαι, πρὸ τῆς πείρας ἐκείνης Πανάμωμε.

ᾨδὴ ΣΤ'. Ἱλάσθητί μοι Σωτήρ.

Ὦ Ἱεράρχα Χριστοῦ, τοὺς ὁμωνύμους σοι φύλαττε, καὶ πάντας τοὺς εὐσεβεῖς, τοὺς εἰς τὴν ζωήρρυτον Πηγήν σου προστρέχοντας, ἐκ παντὸς κινδύνου, σαῖς λιταῖς καὶ περιστάσεων.

Νοσήματα χαλεπὰ ἐξ ἐμοῦ ποίησον, Πάνσεπτε, παρακαλῶ σε θερμῶς, καὶ πᾶσαν τὴν κάκωσιν ψυχῆς τε καὶ σώματος, ταῖς θείαις λιταῖς σου καὶ κινδύνους καταδίωξον.

Ἀνύσας ἐπὶ τῆς γῆς μεγάλους ἄθλους, Μακάριε, δεινῶν ἡμᾶς φοβερῶν, καὶ πάσης κακώσεως, ἐκλύτρωσαι τάχιον, ταῖς πρὸς τὸν Σωτῆρα πανιέροις σου δεήσεσι. Θεοτοκίον.

Φωτὶ ἀπείρῳ τοῦ σοῦ, προσώπου με καταλάμπρυνον, Παρθενομῆτορ Ἁγνή, βυθοῦ ἀπογνώσεως ἀεὶ ἀπαλλάττουσα, καὶ πρὸς μετανοίας τοὺς λιμένας ἐμβιβάζουσα.

Διάσωσον ἀπὸ παντοίων κινδύνων καὶ θλίψεων, Ἱεράρχα, τοὺς τὴν σὴν γεραίροντας Πηγὴν τὴν σωτήριον, ὡς ἔχων παρρησίαν ἐν Κυρίῳ.

Δόξα καὶ νῦν Θεοτοκίον. Ἄχραντε...

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Δ'.

Προστάτα τῶν πιστῶν ἀκαταίσχυντε, καὶ ἱκέτα πρὸς Χριστὸν Ἱερώτατε, μὴ παρίδῃς Ἀθανάσιε τῶν σὲ ὑμνούντων φωνάς, ἀλλὰ σπεῦσον ἀγαθέ, εἰς τὴν βοήθειαν ἡμῶν τῶν πιστῶς κραυγαζόντων σοι· τάχυνον ὡς οἰκτίρμων, καὶ ῥῦσαι δεινῶν παν-

www.tezaurliturgic.ro



τοίων καὶ λοιμικῶν ἀσθενειῶν, ταῖς πρὸς τὸν Κτίστην πρεσβείαις σου.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δ΄.

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχος. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη. . .

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται. . . κτλ. (Ζήτει Νοεμβρίου 13).

Δόξα. Ταῖς τοῦ Ἱεράρχου. . . Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. . .

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον

## Ἦχος Πλ. β΄. Ὅλην ἀποθέμενοι. . .

Πολλοῖς συνεχόμενος, νῦν πειρασμοῖς ὁ παντλήμων, πρὸς σὲ Ἀθανάσιε καταφεύγω, σῶσόν με τὸν ἀνάξιον, τὸν πολλὰ πταίσαντα· ὡς οὐδεὶς ἄλλος γὰρ, ἐν ἀνθρώποις ἐπλημμέλησα· διὸ τὴν θείαν σου, χάριν ἐξαιτῶ ὁ πανάθλιος, προφθάσας σύ με οἴκτειρον, σαῖς πρὸς τὸν Δεσπότην δεήσεσι· καὶ μὴ με ἐάσῃς εἰς τέλος κινδυνεύειν τὸν εἰς σὲ, πᾶσαν ἐλπίδα μου θέμενον, πιστῶν τὸ διάσωσμα.

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου, κτλ.

## ᾨδὴ Ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ῥύεις Πάτερ καὶ σώζεις, ταῖς θερμαῖς σου πρεσβείαις τοὺς πεφευγότας εἰς σέ· καὶ γὰρ εἰ μὴ ἐφρούρεις ἡμᾶς τοὺς σοὺς οἰκέτας, ἀπολώλαμεν ἅπαντες, καὶ ἐγεννήθημεν ἂν κατάβρωμα δαιμόνων.

Ἐπηρείας παντοίας, Ἀθανάσιε Πάτερ, πιστῶν τὸ καύχημα, κινδύνων ἀδοκήτων καὶ λύπης τὸν σὸν δοῦλον, ταῖς πρεσβείαις σου λύτρωσαι, καὶ ἐκ ποικίλων ἀεὶ ἀσθενειῶν με ῥῦσαι.

Τὴν ψυχήν μου, ὦ Πάτερ, κατανύξεως πλῆσον καὶ εὐλαβείας θερμῆς, τὴν θείαν ὅπως βρέχω Εἰκόνα σου, Θεόφρον, ταῖς ῥοαῖς τῶν δακρύων μου, καὶ ἀποπλύνω ἀεὶ τὸν ῥύπον τῶν παθῶν μου.



Θεοτοκίον.

Ἐξ ἱδρώτων καὶ κόπων, στεναγμῶν τε καρδίας, Θεογεννήτρια, συναίσθησις γεννᾶται, ἀπάθεια δ᾽ ἐκ ταύτης, ἧς καὶ φθάσαι τοὺς πρόποδας, ἀξιωθείην ἐγὼ ὁ πταίσας ὑπὲρ πάντας.

## ᾨδὴ Η΄. Τὸν Βασιλέα.

Ἡ ζωηφόρος καὶ γλυκυτάτη Πηγή σου, διαλύει, Ἀθάνασιε Πάτερ, νόσους καὶ κινδύνους ταῖς πρὸς Θεὸν εὐχαῖς σου.

Νόσων παντοίων, τοὺς προσκυνοῦντας ἐν πόθῳ τὴν πανσέβαστον Εἰκόνα σου, ῥῦσαι θλίψεων καὶ πόνων, λιταῖς σου Ἱεράρχα.

Ἀθανασίου τῷ Ἰατρείῳ προσφεύγω, πρὸς αὐτὸν γοερῶς ἀνακράζων, ῥῦσαί με ὦ Πάτερ, κινδύνων ταῖς εὐχαῖς σου.

Θεοτοκίον.

Ἵνα δοξάζω καὶ προσκυνῶ μετὰ δέους, σοῦ τὸ πάνσεπτον ὄνομα, Κόρη, θλίψεώς με πάσης, ἐκλύτρωσαι καὶ βλάβης.

## ᾨδὴ Θ΄. Ἐξέστη ἐπὶ τούτῳ. . .

Ἱκέτην σε καὶ πρέσβυν πρὸς τὸν Θεὸν, πρεσβευσόμενον Πάτερ συγχώρησιν ἁμαρτιῶν, καὶ τῶν ὀφλημάτων καὶ τῶν χρεῶν, ἀποκοπὰς αἰτούμενον, θείους μιμησάμενον οἰκτιρμοὺς, προβάλλομαι προθύμως, ἐλπίδι τῆς πρεσβείας, τῆς σῆς, Θεόφρον, στηριζόμενος.

Νυμφῶνος ἀθανάτου ἐπιτυχεῖν, καὶ τρυφῆς Παραδείσου ἀξίωσον, τὸν ἐπὶ γῆς θεῖόν σε προστάτην μετὰ Θεὸν, θεῖον ἱκέτην ἔχοντα, ὑπέρμαχον μέγαν καὶ ἰατρόν· διὸ ἐνδιαθέτως, τολμῶντα ταῦτα λέγειν, σῶσόν με, Πάτερ, ταῖς πρεσβείαις σου.

Ὢ πόσης εὐφροσύνης καὶ φωτισμοῦ, καὶ χαρᾶς ὑπερμέτρου πληρούμεθα! σοῦ τῇ σεπτῇ Πηγῇ προσπελάζοντες εὐλαβῶς· προρρέει γὰρ οὐράνιον καὶ θεῖον, Ἀθανάσιε γλυκασμὸν, διώκοντα τὰ πάθη τῶν πόθῳ σε τιμώντων καὶ τὴν ὑγιείαν δωρούμενον.

Θεοτοκίον.

Μαρία Θεοτόκε, σὺ τῆς ἐμῆς, ταλαιπώρου καρδίας τὰ τραύ-

www.tezaurliturgic.ro



ματα καὶ τῆς ψυχῆς ἕλκη τὰ δυσίατα καὶ πολλὰ, καὶ τῆς σαρκός μου Δέσποινα, θείᾳ ἐπισκέψει σου τὰς δεινὰς, θεράπευσον ὀδύνας, καὶ λῦσόν μου τὰς νόσους, τὰς τῆς ψυχῆς τε καὶ τοῦ σώματος.

Τὸ, Ἀξιόν ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Τὸν ἐν Ἱεράρχαις θαυματουργὸν, καὶ τὸν ἐν κινδύνοις ἀπροσμάχητον βοηθὸν, τὸν θεῖον ποιμένα καὶ λάτριν τοῦ Δεσπότου, Ἀθανάσιον τὸν Μέγαν, ὕμνοις τιμήσωμεν.

Τῶν Ἀρχιερέων τὴν καλλονὴν, καὶ τῆς Ἐκκλησίας ἐγκαλώπισμα τὸ τερπνὸν, καὶ ἡμῶν τῶν πάνυ ἁμαρτωλῶν προστάτην, Ἀθανάσιον τὸν Μέγαν δοξολογήσωμεν.

Χαίροις Ἐκκλησίας θεῖε ἀστὴρ, οἰκουμένης δόξα, Ἱερέων ὑπογραμμὸς, Πατέρων λαμπρότης, τῆς χάριτος δοχεῖον, Χριστιανῶν προστάτα, ὦ Ἀθανάσιε.

Ἔχει μὲν τὸ πνεῦμά σου οὐρανὸς, ἡμεῖς δὲ πλουτοῦμεν τὴν Εἰκόνα σου τὴν σεπτὴν, ἣν περικυκλοῦντες μετ᾽ ἀνεικάστου πόθου, τιμῶντες προσκυνοῦμεν, ὦ Ἀθανάσιε.

Τῷ Θεῷ τῶν ὅλων νῦν παρεστὼς, αἴτησαι πταισμάτων τοῖς τιμῶσί σε παρ᾽ αὐτοῦ, ἄφεσιν δοθῆναι, Ἀθανάσιε Πάτερ, καὶ τῶν ἐπερχομένων δεινῶν τὴν λύτρωσιν.

Φύλαττε καὶ σκέπε ταῖς σαῖς εὐχαῖς, πάντας τοὺς τιμῶντας τὴν ζωήρρυτόν σου Πηγὴν καὶ τὴν σὴν Εἰκόνα, καὶ αἰωνίως ῥῦσαι, ἐκ θλίψεως παντοίας, ὦ Ἀθανάσιε. Θεοτοκίον.

Δέσποτα φιλάνθρωπε Βασιλεῦ, μὴ ἀκούσω τότε ἐν ἡμέρα τῇ φοβερᾷ, φωνῆς τῆς ὀργῆς σου εἰς πῦρ ἀποπεμπούσης, ἀλλ᾽ οἴκτειρον πρεσβείαις τῆς κυησάσης σε.

Τρισάγιον. Καὶ τὸ Τροπάριον. Ἦχος Γ΄.

Στύλος γέγονας Ὀρθοδοξίας, θείοις δόγμασιν ὑποστηρίζων τὴν Ἐκκλησίαν, Ἱεράρχα Ἀθανάσιε, τῷ γὰρ Πατρὶ τὸν Υἱὸν ὁμοούσιον ἀνακηρύξας, κατῄσχυνας Ἄρειον. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.



Δόξα, καὶ νῦν. Θεοτοκίον.

Θρόνος πάγχρυσος τοῦ βασιλέως, καὶ παράδεισος διηνθισμένος. ἀνεδείχθης, Θεοτόκε Πανάχραντε· τὸν γὰρ Θεὸν ἐν γαστρί σου βαστάσασα εὐωδιάζεις ἡμᾶς θείαις χάρισιν. Ὅθεν ἅπαντες Θεοῦ ἀληθῶς Μητέρα σε, κηρύττομεν ἀεὶ καὶ μεγαλύνομεν.

Εἶτα ἐκτενής, καὶ ἀπόλυσις· καθ᾽ ἣν ψάλλομεν τὰ παρόντα Προσόμοια. Ἦχος Β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὕμνοις, Ἀθανάσιε τὴν σὴν, Κρήνην τὴν ζωήρρυτον ὄντως καὶ ἀνεξάντλητον, τὴν ἀναβλυστάνουσαν ῥεῖθρα ἰάσεων, καὶ προχέουσαν χάριτας πᾶσι τοῖς αἰτοῦσι, συμφώνως αἰνέσωμεν κατασπαζόμενοι, πόθῳ τὴν σεπτήν σου Εἰκόνα, πιστῶν παραμύθιον οὖσαν, καὶ τῶν νόσων φάρμακον ἀποίκιλον.

Δόξα

Πᾶσι τῇ Πηγῇ σου εὐλαβῶς, καὶ τῇ πανσεβάσῳ Εἰκόνι σου καταφεύγουσιν, Ἱεράρχα ἔνδοξε ὦ Ἀθανάσιε, χορηγεῖς τὰ αἰτήματα ταῖς σαῖς ἱκεσίαις, τάχιςα ῥυόμενος τῶν ἀδοκήτων δεινῶν, λύπης καὶ παντοίων κινδύνων, νόσων ἐμπρησμοῦ καὶ σεισμοῦ τε, λοιμοῦ καὶ λιμοῦ τε καὶ τῶν θλίψεων,

Καὶ νῦν.

Πάντες προσκυνοῦμέν σε πιστῶς, Μῆτερ τοῦ Θεοῦ τῶν ἁπάντων, εὐλογημένη Ἁγνὴ, Ἄχραντε Πανάμωμε Θεοχαρίτωτε, ῥῦσαι πάντας τῶν θλίψεων, τῇ σῇ μεσιτείᾳ δυσωπεῖ σε Δέσποινα ὁ Ἀθανάσιος, μετὰ τῶν Ἁγίων ἁπάντων, οἴκτειρον ἡμᾶς σῷ ἐλέει, Παναγία Δέσποινα Παντάνασσα.

ΤΕΛΟΣ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

www.tezaurliturgic.ro



# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΝΔΟΞΟΝ ΜΑΡΤΥΡΑ, ΚΑΙ ΙΑΜΑΤΙΚΟΝ ΑΝΑΡΓΥΡΟΝ

## ΤΡΥΦΩΝΑ.

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ'.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ. . .

ΤΟΝ τροπαιοῦχον ἐν ἀγῶσιν ὀφθέντα καὶ τὸν ἐπώνυμον τρυφῆς τῆς ἐνθέου, Τρύφωνα τὸν ἔνδοξον Μάρτυρα Χριστοῦ, πόθῳ ἀνυμνήσωμεν πρὸς αὐτὸν ἐκβοῶντες, ῥῦσαι τοὺς οἰκέτας σου ἐκ δεινῶν ἀδοκήτων, τοὺς μετὰ πόθου, Ἀνάργυρε, τὸ σὸν ἐπικαλουμένους θαυμάσιον ὄνομα.

Δόξα· Καὶ νῦν Θεοτοκίον. Οὐ σιωπήσομεν. . . .

Ὁ Ν'. Καὶ ὁ Κανὼν Ἦχος Πλ. Δ'. οὗ ἡ Ἀκροστιχίς.

« Τρυφῆς μεθέξειν ἀξίωσόν με Τρύφων. »

### ᾨδὴ Α'. Ὑγρὰν διοδεύσας.

Τρυφῶν τῆς ἐνθέου ἐν Οὐρανοῖς τρυφῆς, μάρτυς Τρύφων, ὡς πανάριστος Ἀθλητὴς, ταῖς σαῖς ἱκεσίαις τὴν ψυχήν μου, τῆς ἐνηδόνου τρυφῆς ἐλευθέρωσον.

Ρημάτων τῶν θείων ἐνωτισθεὶς ἐτέλεσας ταῦτα, Μάκαρ Τρύφων, σὺ πρακτικῶς, τὸν ἅγιον βίον ἀγαπήσας· διὸ ἁγίως κἀμὲ ζῆν ἀξίωσον.

Υπῆρξας, ὦ Τρύφων, ποιμαντικὸς, ποιμαίνων ψυχῆς σου ἐν σοφίᾳ τοὺς λογισμούς· κἀμὲ οὖν εὐδόκησον, ὦ Μάρτυς, ἀεὶ τῇ θείᾳ σοφίᾳ ποιμαίνεσθαι.

Θεοτοκίον.

Φωτίζεις με φέγγει τῷ νοητῷ, ἀπαύγασμα δόξης ἡ τεκοῦσα τὸ Πατρικὸν, Πανάσπιλε Κόρη, καὶ τὸ σκότος, τῆς ἁμαρτίας μου σὺ διασκέδασον.



### ᾨδὴ Γ'. Σὺ εἶ τὸ στερέωμα.

Ημβλυνας τὴν δύναμιν τοῦ πονηροῦ, Τρύφων ἔνδοξε, σθένει Θεοῦ. Διὸ νῦν τῆς τούτου δολιότητός με λύτρωσαι.

Σάρκα περικείμενος, ὀφρὺν, ὦ Τρύφων, κατέπαυσας τοῦ πονηροῦ, καὶ νῦν ὅθεν κτεῖνον αὐτὸν, θείαις ἱκεσίαις σου.

Μόνη, Τρύφων, πνεύματα τὰ πονηρὰ φυγαδεύονται, τῇ σῇ σεπτῇ ὄντως παρουσίᾳ, καὶ δυνάμει τοῦ Πνεύματος.

Θεοτοκίον.

Εχων σε βοήθειαν οὐ μὴ προσκόψω, Πανάμωμε, βίῳ παντὶ, ἔχων σε προστάτιν, ἐκ τῶν νόσων σωθήσομαι.

### ᾨδὴ Δ'. Εἰσακήκοα Κύριε. . .

Θεοφόρε Ἀνάργυρε, πάντας τοὺς τιμῶντάς σε περιφρούρησον, καὶ ταχέως δὸς τὴν ἴασιν, ταῖς πρὸς τὸν Σωτῆρα μεσιτείαις σου.

Εντρυφῶν, Τρύφων ἔνδοξε, δόξης ἀϊδίου καὶ ἀγαλλόμενος, ὑπὲρ πάντων τῶν ὑμνούντων σε πρέσβευε, ῥυσθῆναι πάσης θλίψεως.

Ξενωθέντα με, ἔνδοξε, τῆς Θεοῦ ἀγάπης, δόλῳ τοῦ ὄφεως, σαῖς πρεσβείαις ἀνακάλεσαι, καὶ ἐκ τῶν χειρῶν αὐτοῦ ἀπάλλαξον.

Θεοτοκίον.

Επὶ σὲ τὴν ἐλπίδα μου πᾶσαν ἀνατίθημι, Ἀειπάρθενε. καὶ βοῶ σοι· διαφύλαξον ἐκ παντὸς κινδύνου με, πρεσβείαις σου.

### ᾨδὴ Ε'. Φώτισον ἡμᾶς.

Ινα σὲ ὑμνῶ ὡς προστάτην, Τρύφων ἔνδοξε, δεινῶν παντοίων, ταῖς σαῖς λιταῖς, τὸν σὸν οἰκέτην ἀεὶ ἐλευθέρωσον.

Νίκην κατ' ἐχθροῦ τοῦ δολίου μοι χορήγησον, Τρύφων Παναοίδιμε, σοῦ ταῖς εὐχαῖς, ἵνα σωζόμενος δοξάζω σε πάντοτε.

Ανοσον ζωὴν, Τρύφων Μάρτυς, δὸς τῷ δούλῳ σου, ὡς τῶν

www.tezaurliturgic.ro



ψυχῶν καὶ σωμάτων ἰατρός· σὲ γὰρ γινώσκω ἰατῆρα νόσων ἄμισθον. Θεοτοκίον.

Ἄχραντε Ἁγνή, τὸ γλυκύτατόν μου ὄνομα, σῇ προστασίᾳ σῶσον τῇ ἰσχυρᾷ, τὸν ἐπὶ σοὶ ἀδιστάκτως καταφεύγοντα.

### ᾨδὴ ΣΤ'. Ἱλάσθητί μοι.

Ξηράνας τὰς μυσαρὰς σπονδάς τε καὶ τὰ μιάσματα, μανίας εἰδωλικῆς, κατήρδευσας, ἔνδοξε, σοῖς αἵμασιν ἅπαντα, τὰ τῆς εὐσεβείας εὐγενῆ, Τρύφων, βλαστήματα.

Ἰχώρ σου μαρτυρικὸς, ὡς μῦρον εὐωδιάζει νῦν, τὸ αἷμά σου, Ἀθλητὰ, πηγάζει ἰάματα, ἡ κόνις τοῦ σώματος, ψυχὰς ἁγιάζει τῶν πιστῶς προσπελαζόντων σοι.

Ἰάσεων αὐτουργὸν, εἰδότες σε, Τρύφων ἔνδοξε, ξηραινομένων παθῶν, πηγὴν ἀνεξάντλητον, ἐξῆς ἀπαντλοῦμεν νῦν, ἰαμάτων ῥεῖθρα, καὶ σωτήρια χαρίσματα. Θεοτοκίον.

Ὡς Μήτηρ οὖσα Χριστοῦ, τοῦ Ποιητοῦ πάσης Κτίσεως, σὲ ἱκετεύω θερμῶς, Πανάσπιλε Δέσποινα, ἱλασμόν μοι δώρησαι, τῶν πολλῶν πταισμάτων, καὶ κινδύνων με ἐξάρπασον.

Διάσωσον ταῖς πρὸς Χριςὸν ἱκεσίαις σου, Τρύφων, ἀπὸ κινδύνων καὶ νόσων, Ἀνάργυρε, τοὺς πόθῳ σε καὶ πίστει εὐφημοῦντας.

Καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β'.

Ἐνθέου τρυφῆς ἐν Οὐρανοῖς ἀπολαύων, Ἀνάργυρε, τὰς ψυχὰς τῶν σῶν οἰκετῶν, ταῖς πρὸς Θεὸν ἀπαύστοις πρεσβείαις σου, τῆς τῶν παθῶν πάσης ῥῦσαι συγχύσεως, ὡς Ἀθλητὴς ἀήττητος, Τρύφων Παναοίδιμε.

Καὶ εὐθὺς τὸ Προκείμενον. ἦχος, δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στίχος. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

### Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.



Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν. . . . κτλ. (Ζήτει Σαβ. τῆς Ι'. Ἑβδομάδος).

Δόξα. Ταῖς τοῦ Ἀναργύρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον

### Ἦχος Πλ. Β'. Οὐδεὶς προστρέχων.

Οὐδεὶς προςτρέχων ἐν τῇ σκέπῃ σου, ἀνίσχυρος ἐκπορεύεται κατὰ παθῶν καὶ δεινῶν, Τρύφων Μάρτυς Κυρίου, ἀλλὰ τῶν ἰαμάτων τὴν χάριν ἐκζητῶν, λαμβάνει ταῖς πρὸς Θεὸν λιταῖς σου, σωτηρίαν καὶ ἴασιν.

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου, κτλ.

### ᾨδὴ Ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Στεφηφόρος χορεύων καὶ χοροῖς τῶν Μαρτύρων συναγαλλόμενος, τοῖς σὲ, Τρύφων, τιμῶσι καὶ πίστει ἀνυμνοῦσιν, ὡς Ἀνάργυρος δώρησαι, ἀσθενειῶν καὶ παθῶν τὴν μείωσιν, εὐχαῖς σου

Ὁ Δεσπότης τῶν ὅλων, καὶ Θεὸς Οὐρανίῳ στέφει σε ἔστεψε, καὶ ἐν ἐπουρανίοις σκηναῖς νῦν ἐναυλίζειν κατηξίωσεν, Ἅγιε. Τοῦτον ὑπὲρ ἡμῶν, ὦ Τρύφων, ἐκδυσώπει.

Ὄμβροις ἐμῶν δακρύων, πλῦνον, ὦ Ἀνάργυρε Τρύφων, καρδίαν μου, πηγήν τε σῆς Εἰκόνος, ἰάματα ῥεούσης, κανανύξεως πλήρωσον, ἵν' ἀποπλύνω παθῶν τὸν βόρβορον, Τρισμάκαρ. Θεοτοκίον.

Νέον φέρουσα βρέφος, τὸν πρὸ τῶν αἰώνων Θεὸν, Παναμώμητε, ταῖς σαῖς σεπταῖς ἀγκάλαις, μὴ παύσῃ δυσωποῦσα, λυτρωθῆναι τοὺς δούλους σου, πυρὸς σεισμοῦ καὶ λιμοῦ, καὶ νόσων ἀνιάτων.

### ᾨδὴ Η'. Τὸν Βασιλέα.

Μυρίοις νόσοις πιεζόμενος, Μάκαρ, σοὶ προστρέχω αἰτῶν σωτηρίαν. Σὺ γὰρ εἶ, ὦ Τρύφων, ἡ ῥῶσις τῶν νοσούντων.

Ἐν Οὐρανίοις τοῖς σκηνώμασι, Τρύφων, ἐντρυφῶν καὶ χαίρων σὺν Ἀγγέλοις, πρέσβευε Κυρίῳ ὑπὲρ τῶν σὲ ὑμνούντων.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΝΤΟΡΗΣ ΠΑΠ...

www.tezaurliturgic.ro



Τὸν σὸν οἰκέτην, ὡς ἰατρὸς τῶν νοσούντων, Τρύφων Ἅγιε, παθῶν ἐνοχλούντων, κόπασον τὸν σάλον, ταῖς θείαις σου πρεσβείαις.

Θεοτοκίον.

Ῥεῖθρα δακρύων ψυχικῶν δός μοι, Κόρη, ἵνα πλύνω παθῶν μου τὸν ῥύπον, καὶ ὁδήγησόν με πρὸς τρίβους σωτηρίας.

ᾠδὴ Θ΄. Κυρίως Θεοτόκον.

Ὑπὲρ ἡμῶν δυσώπει, Θεὸν τῶν ἁπάντων, τρυφῶν ἐνθέου τρυφῆς, Τρύφων ἔνδοξε, ἵνα παράσχῃ πταισμάτων ἡμῖν συγχώρησιν.

Φωτὶ ὡς προσπελάσας, τῷ πρώτῳ, ὦ Τρύφων, καὶ τῇ αὐτοῦ θείᾳ αἴγλῃ πυρσούμενος, αὐτῆς λιταῖς σου σὸν δοῦλον μέτοχον ποίησον.

Ὦ Τρύφων, τῆς ἐνθέου τρυφῆς ἀπολαύων σὺν τοῖς Ἀγγέλοις ἀεὶ ἐνηδόμενος, ὑπὲρ σῶν δούλων, τὸν Κτίστην, Μάκαρ, ἱκέτευε.

Θεοτοκίον.

Νοσοῦντες, Θεοτόκε, καὶ δεινοῖς παντοίοις, οἱ σοὶ οἰκέται ἀεὶ συνεχόμενοι, σοὶ καταφεύγοντες λύσιν αὐτῶν αἰτούμεθα.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Καὶ τὰ παρόντα Μεγαλυνάρια.

Μάρτυρα Κυρίου τὸν θαυμαστὸν, καὶ τὸν τῆς Λαμψάκου ἑτοιμότατον βοηθὸν, φύλακα καὶ ῥύστην τῶν ἐπικαλουμένων, Τρύφωνα τὸν θεῖον πάντες τιμήσωμεν.

Δεῦτε προσκυνήσωμεν οἱ πιστοὶ, Τρύφωνος τοῦ θείου τὴν Εἰκόνα τὴν ἱερὰν, τὴν ἀποσοβοῦσαν παθῶν τὰς δυσοσμίας, καὶ ἴασιν καὶ ῥῶσιν πᾶσιν παρέχουσαν.

καὶ Θεοτοκίον Πᾶσαι τῶν Ἀγγέλων.

Τρισάγιον. εἶτα τὸ Τροπάριον Ἦχος Α΄.

Οὐράνιος Χορός...

Βασάνων ἀνδρικῶς ὑπομείνας τοὺς πόνους, τὴν ἄπονον ζωὴν ἀληθῶς ἐκομίσω, Τρύφων Πανασίδιμε, Ἀθλητῶν τὸ ἑδραίωμα. Ὅθεν σήμερον ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἑορτάζουσα τὴν παναγίαν σου Μνήμην, ἐνθέως ἀγάλλεται.



ὁ Ἱερεὺς μνημονεύει.

Ἐν τῇ ἀπολύσει ψάλλομεν τὸ παρὸν ἦχος Β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν...

Τρύφων εἰληφὼς παρὰ Θεοῦ χάριν, χορηγεῖς τὰς ἰάσεις τοῖς εἰς τὴν σκέπην σου πίστει καταφεύγουσι, καὶ σοὶ προστρέχουσι, καὶ ποικίλα ἀνίατα θεραπεύεις πάθη, χάριτι τοῦ Πνεύματος τοῦ Παναγίου, Σοφέ. Ὅθεν καὶ ἡμεῖς δυσωποῦμεν δέου πρὸς τὸν Κύριον, πάντων τῶν δεινῶν, ῥυσθῆναι τοὺς τιμῶντάς σε.

ΤΕΛΟΣ.

---

# ΕΤΕΡΟΣ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΚΑΙ ΔΙΚΑΙΟΝ

## ΣΥΜΕΩΝ ΤΟΝ ΘΕΟΔΟΧΟΝ·

## ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ΄.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ...

ΤΟΝ ἐν χερσὶ διακρατοῦντα τὸν Κόσμον, τὸν καὶ Δεσπότην καὶ δοτῆρα τοῦ Νόμου, ὑπὸ Παρθένου τῷ Ναῷ φερόμενον, πόθῳ εἰσδεξάμενος ταῖς ἀγκάλαις σου, Πρέσβυ Συμεὼν Μακάριε καθικέτευε πᾶσι τῶν ὀφλημάτων λύσιν παρασχεῖν, καὶ γυναιξὶν εὐτοκίαν δωρήσασθαι.

Δόξα· καὶ νῦν Θεοτοκίον.

Τῇ Θεοτόκῳ ἐκτενῶς...

Ὁ Ν΄. Καὶ ὁ Κανὼν Ἦχος Πλ. Δ΄. οὗ ἡ Ἀκροστιχίς.

« Δέχου τὸν ὕμνον Συμεὼν Θεοδόχε. Σεραφείμ. »

ᾠδὴ Α΄. Ὑγρὰν διοδεύσας.

www.tezaurliturgic.ro



Δικαίων σκηνώμασιν ἐν χαρᾷ καὶ πόθῳ ἀφράσῳ, αὐλιζόμενος Συμεὼν, πάντας τοὺς τελοῦντάς σου τὴν Μνήμην, Θεὸν τῶν ὅλων δικαιῶσαι ἱκέτευσον.

Ἐν Νόμῳ γενόμενος ἱερὸς, Συμεὼν ὡς ηὔχου, σὺ τεθέασαι Ἰησοῦν, τὸν Χριστὸν Κυρίου, ὃν δυσώπει, ἐκ πάσης λύπης ἡμᾶς ἀπαλλάξασθαι.

Χειρὶ τὸν κατέχοντα πᾶσαν γῆν, ἐν Χερσὶν ἐδέχθης, ἁγιώτατε Συμεών. Τοῦτον οὖν δυσώπει δυστοκίας ἐλευθερῶσαι τὴν σοὶ καταφεύγουσαν. Θεοτοκίον.

Οὐκ ἔχω παρρησίαν Μῆτερ Θεοῦ, ἰδεῖν ἁμαρτήσας εἰς τὸ ὕψος τοῦ Οὐρανοῦ, ἀλλ᾽ οἴκτειρον Κόρη τὸν σὸν δοῦλον, ἡ τὸν Θεὸν ἐν γαστρί σου χωρήσασα.

## ᾠδὴ Γ΄. Σὺ εἶ τὸ στερέωμα.

Ὑψωθεὶς ταῖς πράξεσι ταῖς ἱεραῖς, ἁγιώτατε, τὸν Ἰησοῦν ἐν χερσὶν ἐδέχθης, ὑπὲρ πάντων δεόμενος.

Τὸν τοῦ Νόμου Κύριον, μήτραν Παρθένου ἀνοίξαντα, ἰδὼν σεπτὲ Συμεὼν δυσώπει, ἐκ κινδύνων ῥυσθῆναί με.

Ὁ χερσὶ τὸν ἄνθρωπον δημιουργήσας κατέχεται, ἐν Συμεὼν γηραιαῖς ἀγκάλαις, ῥῶσιν πᾶσι δωρούμενος. Θεοτοκίον.

Νοητὴν λαβίδα σε, ἄνθρακα φέρουσαν, Πάναγνε, τὸν ἐκ τῶν σῶν αἱμάτων τεχθέντα, ὁ Ἡσαΐας σε ἔβλεψεν.

## ᾠδὴ Δ΄. Εἰσακήκοα Κύριε. . .

Ὑπερήκμασας γήρατι, πίσει δὲ τῇ θείᾳ ὄντως ἐνέαζες, ἰδεῖν θέλων τὸν Παντέλειον, ὃν ὑπὲρ σῶν δούλων καθικέτευε.

Μακαρίσωμεν ἅπαντες, Συμεὼν τὸν Δίκαιον καὶ βοήσωμεν, φθάσον ῥῦσαι ταῖς πρεσβείαις σου, πάντας τοὺς τιμῶντάς σε Θεόπνευστε.

Νομοδότην σὺ Κύριον, ἐν ταῖς σαῖς ἀγκάλαις πάλαι ἐβάστασας, Συμεὼν, καὶ νῦν πρεσβείαις σου, βρέφη τὰ θηλάζοντα ἐγκολπόθητι. Θεοτοκίον.



Ὁ χειρὶ Κόσμον ἅπαντα φέρων, τῆς Παρθένου βαστάζεται, μικρὸν ἀγκάλαις νήπιον, ὁ γαστὶ συνέχων ἅπαν νήπιον.

## ᾠδὴ Ε΄. Φώτισον ἡμᾶς. . .

Νῦν ἐν Οὐρανοῖς ἀγαλλόμενος, Μακάριε, πάντας τοὺς τελοῦντας τὴν θείαν Μνήμην σου, δεινῶν παντοίων ταῖς πρεσβείαις σου ἀπάλλαξον.

Σὺ ὦ Συμεὼν Θεηγόρε ἀπετέλεσας, σεαυτὸν Ναὸν τοῦ Θεοῦ πανάγιον· διὸ καὶ εἶδες ἐν Ναῷ αὐτὸν ὡς νήπιον.

Ὕμνοις ἱεροῖς, Συμεὼν ἀνευφημήσωμεν τὸν Θεηγόρον, ἀνακράζοντες, ὦ Θεοδόχε, σαῖς λιταῖς ἡμᾶς οἰκτείρησον. Θεοτοκίον.

Μῆτερ τοῦ Θεοῦ, τῇ φθορᾷ καθολισθήσαντας, πάντας τοὺς σοὺς δούλους σὺ ἐξανάστησον, καὶ πρὸς ἀφθαρσίας τὴν ζωὴν ἡμᾶς ὁδήγησον.

## ᾠδὴ ΣΤ΄. Ἱλάσθητί μοι Σωτήρ.

Ἐβόησας, Συμεὼν, ὅτε κατεῖδες τὸν Κύριον, ἀπόλυσόν με Σωτὴρ, νυνὶ ὡς ὑπέσχου μοι· καὶ νῦν τοῦτον αἴτησαι, ἀπολῦσαι πάντας τῶν δεινῶν καὶ περιστάσεων.

Ὡραιωθεὶς Συμεὼν, τοῦ Μωϋσέως λαμπρότερος, ἐγένου· ἐν ταῖς χερσὶ, τὸν κάλλει θαυμάσιον δεξάμενος, Πανσεπτε· τοῦτον οὖν δυσώπει, οἰκτειρῆσαι τοὺς οἰκέτας σου.

Νεκρώσεως τοῖς θεσμοῖς, ἀπῆλθες πρὸς τὸν ποθούμενον, ὃν ἐκδυσώπει ἀεὶ, Συμεὼν Πανάγιε, ῥυσθῆναί με θλίψεως, καὶ δεινῶν παντοίων, σαῖς λιταῖς καὶ περιστάσεων. Θεοτοκίον.

Θηρεῦσαί με προσπαθεῖ ὁ μιαρὸς δαίμων πάντοτε, Παρθενομῆτορ Ἁγνὴ, ἀλλὰ σὺ ἐξάρπασον τῶν αὐτοῦ παγίδων με, καὶ τῇ θείᾳ σκέπῃ τῆς πρεσβείας σου συντήρησον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΚΤΗΤΟΡΟΣ ΠΑΝ... ΓΑΤΟΥ

www.tezaurliturgic.ro



Ἐπίβλεψον ἐν εὐμενείᾳ, Συμεὼν Θεοδόχε, ἐπὶ τοῖς ἐμοῖς δεινοῖς τοῦ σώματος πάθεσι, καὶ ἴασιν δώρησαί μοι λιταῖς σου.

Καὶ Θεοτοκίον Ἐπίβλεψον...

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β'.

Δικαίων ταῖς σκηναῖς περιχαρῶς ἐνηδόμενος, Χριστὸν τὸν Θεόν, ὃν ἐν ἀγκάλαις ὡς βρέφος ἐβάστασας, αἴτησαι, ἁμαρτημάτων πολλῶν λυτρῶσαι ἡμᾶς, καὶ εὐτοκίαν ταῖς ἐγκύοις δωρήσασθαι, Συμεὼν Θεοδόχε Μακάριε.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δ'.

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ.

Στίχος. Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ· ἦν ἄνθρωπος ἐν Ἱερουσαλήμ, ᾧ ὄνομα Συμεών... κτλ. (Ζήτει ἐν τῷ Ὄρθρῳ τῆς β'. Φευρουαρίου).

Δόξα. Ταῖς τοῦ Θεοδόχου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου....

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον

## Ἦχος Πλ. β'. Ὅλην ἀποθέμενοι...

Πρεσβύτην θαυμάσιον ὑπερακμάσαντα γήρει, πολιὰν σεβάσμιον, ἄνθρωπον Οὐράνιον καὶ πανέντιμον, προστασίαν θείαν, ἐνεργὸν θαυμάτων, καὶ ἐγκύων ἀντιλήπτορα πασῶν γινώσκοντες, σὲ ὦ Συμεὼν Ἱερώτατε, ἡμεῖς πάντες ἐν δάκρυσι, τῇ σῇ βοηθείᾳ προστρέχομεν· ἴδε Θεοδόχε, τὴν λύπην καὶ ἀσθένειαν αὐτῶν, καὶ εὐτοκίαν χορήγησον αὐταῖς, ἱκεσίαις σου.

Τό, Σῶσον ὁ Θεὸς τὸν λαόν σου κτλ.

## ᾨδὴ Ζ'. Παῖδες Ἑβραίων.

Ἔλαβες, Μάκαρ, ἐν ἀγκάλαις, μικρὸν βρέφος Χριστὸν τὸν Ζωοδότην· τοῦτον οὖν Συμεὼν ἱκέτευε, νηπίοις θηλάζουσι δωρήσασθαι, ἐντελῆ τὴν ὑγιείαν.

Ὅλων ἡ λύτρωσις ἐπέστη, ἐν Ναῷ γὰρ ὡς βρέφος τῷ ἁγίῳ,



Ἰησοῦς ὁ Σωτὴρ θανάτου αἰφνηδίου, τοῦ Συμεὼν δεήσεσι, ἀπαλλάττων ἡμᾶς πάντας.

Δέχου τὴν δέησίν μου, Πάτερ, καὶ προσάγαγε τῷ ὑπὸ σοῦ ὡς βρέφος, βασταχθέντι Θεῷ, καὶ τοῦτον ἐκδυσώπει ῥυσθῆναί με τὸν ἄθλιον τῶν παγίδων διαβόλου. Θεοτοκίον.

Οἴκτειρον, σῶσόν με, Μαρία, τὸν φιλάνθρωπον τεκοῦσα Θεὸν Λόγον, καὶ ἀκτῖσι ταῖς σαῖς καταύγασον ψυχήν μου, καὶ φιλανθρώπως ῥῦσαί με, τῆς δαιμόνων τυραννίας.

## ᾨδὴ Η'. Τὸν Βασιλέα.

Χριστὸν δυσώπει, ὦ Συμεὼν θεοδόχε, χαρμονῆς αἰωνίου ἀπολαῦσαι, κἀμὲ τὸν σὸν δοῦλον, ἧς νῦν σὺ ἀπολαύεις.

Ἔχων, ὦ Πρέσβυ, παρὰ Θεῷ παῤῥησίαν, καθικέτευε ὑπὲρ τῶν σὲ τιμώντων, καὶ ῥύου εὐχαῖς σου κινδύνων ἀδοκήτων.

Σὺ Θεοδόχε, τὰς ἐν γαστρὶ νῦν ἐχούσας, διαφύλαττε θερμαῖς σου ἱκεσίαις, ταῖς πρὸς τὸν Δεσπότην καὶ ῥύου δυστοκίας.

Εὑρὼν τῶν πόνων τοῦ ἐπικήρου σου βίου, Συμεὼν τὰ ἔπαθλα ἐν βίῳ τῷ ἀτελευτήτῳ, ἡμῶν μὴ ἐπιλάθου. Θεοτοκίον.

Ῥᾶνον, ὦ Κόρη Θεογεννῆτορ Μαρία, τῷ πιστῶς τιμῶντί σε ῥανίσι τῆς σῆς προστασίας, καὶ ῥῦσαι τῶν πταισμάτων.

## ᾨδὴ Θ'. Κυρίως Θεοτόκον...

Ἁγναί σου ὦ Πρεσβύτα, χεῖρες αἱ δεχθεῖσαι τὸν ζωοδότην, καὶ γέγονας Πάνσεπτε, ὄντως εὐδαίμων· διὸ εὐφημοῦμέν σε.

Φιλάνθρωπε τοῦ κόσμου Δέσποτα καὶ Σῶτερ, ταῖς Θεοδόχου πρεσβείαις ἀπάλλαξον, τοὺς σοὺς οἰκέτας τῶν νόσων καὶ περιστάσεων.

Ἐπὶ τὴν προστασίαν τὴν σήν, Θεοδόχε, νῦν καταφεύγω ὁ δοῦλός σου, πρόφθασον, καὶ ταῖς πρεσβείαις σου σῶσόν με τὸν κατάκριτον.

Ἴασαι Τρισμάκαρ, τὴν ἐκ δυστοκίας δεινῶς νῦν πάσχουσαν

www.tezaurliturgic.ro



δούλην σου, Ἅγιε, καὶ εὐτοκίαν ἐν τάχει αὐτῇ χορήγησον.

Θεοτοκίον.

Μαρία Θεοτόκε, Μῆτερ τοῦ Δεσπότου, τῶν ψυχοφθόρων παθῶν με ἀπάλλαξον, καὶ αἰωνίου πυρὸς ῥῦσαι καὶ σῶσόν με.

Τὸ, Ἄξιόν ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Φῶς εἰς ἀποκάλυψιν τῶν ἐθνῶν, ἐπὶ τῆς γῆς ὤφθης, ἐκ Παρθένου ὄντως τεχθεὶς, καὶ ἐπανεπαύσω γηραλέαις ἀγκάλαις, τὰ βρέφη ὁ φαλάττων, μόνε φιλάνθρωπε.

Πρέσβυ Ἱερώτατε Συμεὼν, μὴ παύσῃ πρεσβεύων τῷ Σωτῆρί σου καὶ Θεῷ, εὐτοκίαν δοῦναι ταῖς ἐπίτεξι πάσαις, καὶ νόσων καὶ κινδύνων τὴν ἀπολύτρωσιν.

Ὡς ἐδέχθης βρέφος ἐν Ἱερῷ τοῦ Πατρὸς τὸν Λόγον ἐν ἀγκάλαις σου, Συμεὼν, οὕτως ἐκδυσώπει αὐτὸν ἐν παῤῥησίᾳ, θηλάζουσι νηπίοις ῥῶσιν δωρήσασθαι.

Ὡς ἐνηγκαλίσθης ἐν Ἱερῷ, τὸν Θεὸν τῶν ὅλων, δικαιότατε Συμεὼν, οὕτω καὶ τὰ βρέφη, πρεσβείαις σου συντήρει, καὶ τὰς ἐγκύους πάσας σὺ ἐλευθέρωσον.

Καὶ τὸ, Πᾶσαι τῶν Ἀγγέλων.

Τρισάγιον καὶ τὸ Τροπάριον Ἦχος Β΄.

Τοῦ Δικαίου Συμεὼν τὴν Μνήμην ἑορτάζοντες, Κύριε, δι᾽ αὐτοῦ σε δυσωποῦμεν, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύει.

Εἰς τὴν Ἀπόλυσιν ψάλλομεν τὸ παρὸν Προσόμοιον, Ἦχος Πλ. Δ΄.

Δέσποινα πρόσδεξαι. . .

Συμεὼν Ἱερώτατε, τὸν Σωτῆρα ἱκέτευε, ὃν ἐν ἀγκάλαις ἐδέχθης, τὰς ἐν γαστρὶ ἐχούσας ῥῦσαι, καὶ εὐτοκίαν αὐταῖς δωρήσασθαι.

ΤΕΛΟΣ.



# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

## ΧΑΡΑΛΑΜΠΟΝ·

ΥΠΟ ΤΟΥ

ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΙΩΑΝΝΟΥ ΚΕΦΑΛΛΗΝΕΩΣ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος· καὶ τὸ Τροπάριον Ἦχος Δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῷ Ἀθλοφόρῳ οἱ Πιστοὶ δεῦτε πάντες, εὐσεβοφρόνως προσπεσόντες βοῶμεν· Ἱερομάρτυς ἔνδοξε Χαράλαμπε, ῥῦσαι τοὺς τιμῶντάς σε λοιμικῆς ἀσθενείας, πάσης περιστάσεως καὶ δεινῶν καὶ κινδύνων, ταῖς πρὸς Χριστὸν λιταῖς σου, Ἀθλητά· σὲ γὰρ προστάτην κεκτήμεθα ἅπαντες.

Δόξα· Καὶ νῦν Θεοτοκίον. Οὐ σιωπήσομεν. . .

Εἶτα ὁ Ν΄. καὶ ὁ Κανὼν, οὗ ἡ Ἀκροστιχίς.

« Τὸ δὴ πόθῳ σοι νῦν Ἰωάννης ἄγει. »

ᾨδὴ Α΄. Ἦχος πλ. Δ΄. Ἁρματηλάτην Φαραώ.

Ταῖς πρὸς Χριςόν σου ἱεραῖς ἐντεύξεσι, Μάρτυς ἀοίδιμε, τῶν κινδύνων ῥῦσαι, καὶ δεινῆς κακώσεως καὶ πάσης περιστάσεως, καὶ αἰσχρᾶς ἁμαρτίας, Ἱερομάρτυς Χαράλαμπε, καὶ τῶν δυσμενῶν κατακρίσεως.

Ὁ τῶν ἁπάντων Βασιλεὺς καὶ Κύριος, ψυχῆς σου τὸ φαεινὸν, προειδὼς Παμμάκαρ, λαμπρῶς καθωράϊσεν Ἱερωσύνῃ, Ἅγιε, διαπρέψαντα λίαν, εἶτα ἀθλήσεως λάμψεσι, σὲ εἰς Οὐρανοὺς προσελάβετο.

www.tezaurliturgic.ro



Δόξη ἐνθέως διαπρέπων, Ἔνδοξε, ἐν Οὐρανοῖς κατοικεῖς, σὺν Ἀγγέλοις Μάκαρ, καὶ Ἁγίων τάγμασι, δυσώπησον τὸν Κύριον, παῤῥησίαν ὡς ἔχων, ἡμᾶς ῥυσθῆναι κολάσεως, νόσου τε καὶ πάσης πωρώσεως. Θεοτοκίον.

Ἡ ὑπὲρ λόγον τὸν Θεὸν κυήσασα, Εὐλογημένη Ἁγνή, καὶ τῶν Οὐρανίων νοερὰ στρατεύματα, τῷ κάλλει σου λαμπρύνουσα, Παναγία Παρθένε, καταύγασον τοὺς οἰκέτας σου, πάσης ἐξελοῦσα σκαιότητος.

ᾨδὴ Γ΄. Οὐρανίας ἁψῖδος.

Πανaοίδιμε, πόθῳ σὲ ἀνυμνῶ, Ἅγιε τάχος τῶν κινδύνων καὶ σάλου πάντας ἀπάλλαξον, ταῖς ἱκεσίαις σου πρὸς τὸν Θεόν, καὶ εἰς ὅρμον σωτηρίας εὔθυνον τοὺς σὲ γεραίροντας.

Ὁ Θεὸς τῶν ἁπάντων δημιουργὸς Κύριος, χάριν σοι παρέσχε, θεόφρον, τὴν τῶν ἰάσεων, ἣν σὺ ἐζήτησας, ὑπεραθλῶν αὐτοῦ πόθῳ, καὶ λαβὼν τοῖς δούλοις σου παράσχου Ἅγιε.

Θειοτάτῃ προνοίᾳ παρὰ Θεοῦ δέδοσαι, πᾶσι τοῖς πιστῶς σε τιμῶσι, Μάκαρ Χαράλαμπες, διὸ ἀπέλασον, ἅπασαν νόσον καὶ βλάβην, χάριν παρεχόμενος τὴν ἐπουράνιον. Θεοτοκίον.

Ὡς Θεοῦ σε Μητέρα καὶ γηγενῶν καύχημα, πίστει ἀνυμνοῦμεν, Παρθένε, καὶ μακαρίζομεν, ῥῦσαι πανάχραντε, τῆς ἐνεστώσης ἀνάγκης, τοὺς πιστῶς ὑμνοῦντάς σε τὴν ὑπερύμνητον.

ᾨδὴ Δ΄. Σύ μου ἰσχὺς Κύριε...

Σὺ Ἀθλητά, καταφυγή μου καὶ δύναμις, σὺ προστάτης, σύ μου καὶ ἀντίληψις, πλουτῶν Σοφὲ ὄντως πρὸς Θεόν, παῤῥησίαν Μάκαρ, ὡς στεφανίτης ἀήττητος, διὸ καὶ πᾶσαν νόσον ἀπελαύνων παράσχου τοῖς Πιστοῖς θείαν χάριν καὶ ἔλεος.

Ὁλοσχερῶς πρὸς τοὺς ἀγῶνας ἐχώρησας, ὡς ὑπάρχων Ἱερεὺς θαυμάσιος, καὶ δυσμενῶν ὅπλα καὶ ἰσχύν, τῇ θείᾳ ἰσχύϊ, καταβαλὼν ἀξιύμνητε, στεφάνων ἠξιώθης, Οὐρανίων Παμμάκαρ· διὸ ῥῦσαι ἡμᾶς πάσης θλίψεως.



Ἵλεως σύ, Ἱερομάρτυς Χαράλαμπε, τοῖς σοῖς δούλοις εἴης Παμμακάριστε, διδοὺς αὐτοῖς χάριν δαψιλῆ, ταῖς σαῖς ἱκεσίαις, ἐλαύνων νόσους καὶ σκάνδαλα, καὶ χάριτος ἐνθέου ἀξιῶν ὡς προστάτης, πᾶσαν νόσον καὶ βλάβην ἀπέλασον. Θεοτοκίον.

Νοοῦντες σοῦ τὸ ὑπὲρ λόγον μυστήριον, Θεοτόκε Ἄχραντε Θεόνυμφε, τῶν Οὐρανῶν Τάγματα Σεμνή, θάμβει γεγηθότως, συνέχονται ἐκπληττόμενα· διὸ ἡμᾶς Κυρία λοιμικῆς ἀσθενείας, καὶ κολάσεως ῥῦσαι Ὑπέραγνε.

Ε΄. Ἵνα τί με ἀπώσω.

Ὑπερύμνητον Μάκαρ, τὸν Θεὸν τῶν ἁπάντων σὺ ἀνεκήρυξας, λαμπρῶς ἐν τῷ σταδίῳ, Χαράλαμπε θεόφρον, ὃν ἀεὶ καθικέτευε, τῶν ἐνεστώτων κακῶν, ῥῦσαι ἡμᾶς καὶ νόσων.

Νῦν σε Μάρτυς πλουτοῦντες, πρὸς Θεὸν τῶν ἁπάντων πρέσβυν θερμότατον, καὶ ἀεὶ Παμμάκαρ, ἱκετεύομεν ῥῦσαι τῶν θλίψεων, καὶ δεινῆς μανίας, τῆς ἐνεστώσης νόσου τάχος, καὶ κινδύνων καὶ πάσης κακώσεως.

Ἱλασμὸν τῶν πταισμάτων, παρεχόμενος πᾶσι τοῖς εὐφημοῦσί σε, ταῖς λιταῖς σου Μάρτυς, τὴν μανίαν ἐν τάχει ἀπέλασον, Μάκαρ πάσης νόσου καὶ πάσης βλάβης καὶ κακίας, ἀξιῶν Οὐρανίου λαμπρότητος. Θεοτοκίον.

Ὡς Θεὸν τετοκυῖα, Ὑπερύμνητε Κόρη Θεοχαρίτωτε, θαυμαστῶς ἰσχύεις, ὅσα βούλει Ὑπέραγνε Δέσποινα· διὸ πάντας ῥῦσαι, νόσου παντοίας καὶ Γεέννης, καὶ κολάσεως πάσης ἐξάρπασον.

ᾨδὴ ΣΤ΄. Τὴν δέησιν ἐκχεῶ.

Ἁγίως τὴν βιωτὴν διήνυσες, ἱερεὺς διατελῶν Θεοκήρυξ, εἶτα Σοφὲ μαρτυρίου ἀγῶσιν, εἰς Οὐρανοὺς ἀνελήλυθας ἄριστε· διὸ λιταῖς σου πρὸς Χριστόν, πᾶσαν νόσον ἀπέλασον τάχιστα.

Ναόν σου τοῦ Παναγίου Πνεύματος ἐγνωκότες οἱ Πιστοὶ εὐφημοῦμεν, πάσης ὀργῆς καὶ ἀνάγκης καὶ νόσων, καὶ τοῦ ἀώρου

www.tezaurliturgic.ro



θανάτου ἀπάλλαξον, λιταῖς σου πρὸς τὸν Λυτρωτὴν, Πανaοίδιμε Μάρτυς Χαράλαμπε.

Νοοῦντες τὴν παῤῥησίαν Ἅγιε, ἣν πλουτεῖς πρὸς τὸν Χριστὸν Ἀθλοφόρε, πίστει ἀεὶ εὐφημοῦμέν σε Μάκαρ, τὴν λοιμικὴν ἐξ ἀνθρώπων ἀπέλασον, μανίαν τὴν λυμαντικὴν, ταῖς λιταῖς σου Χαράλαμπε ἔνδοξε. Θεοτοκίον.

Η μόνη τὸν Λυτρωτὴν κυήσασα, σὺ ὑπάρχεις Παναγία Παρθένε, ὃν ἐκτενῶς ὑπὲρ πάντων δυσώπει, οἰκτειρηθῆναι τῷ θείῳ ἐλέει σου, τυχεῖν τε τῆς ἐν Οὐρανῷ, ἀπολαύσεως δόξης καὶ χάριτος.

Διάσωζε Ἱερομάρτυς τοὺς πίστει σε εὐφημοῦντας, ταῖς πρὸς Χριστὸν λιταῖς σου Χαράλαμπε, κινδύνων καὶ ἀσθενείας ἁπάσης.

Δόξα καὶ νῦν Θεοτοκίον Ἄχραντε...

Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος δ'.

Προστασίᾳ τῇ ἱερᾷ σου Θεόπνευστε, ἱκεσίᾳ πρὸς τὸν Χριστὸν ἱερώτατε, οἰκτείρησον ἡμᾶς Χαράλαμπε Σοφὲ, δωρούμενος ἡμῖν τὴν λύσιν τῶν δυσχερῶν ἔνδοξε, ἀποσοβῶν πᾶσαν νόσον καὶ λοιμικὰς ἀσθενείας, ὡς ἀντιλήπτωρ τῶν Πιστῶν, Πανaοίδιμε ὀξύτατος.

Καὶ εὐθὺς τὸ Προκείμενον. ἦχος, δ'.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει. . . .

Στίχος. Πεφυτευμένος ἐν τῷ Οἴκῳ Κυρίου. . . .

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος· ταῦτα ἐντέλλομαι ὑμῖν... (Ζήτει Ἀπριλ 23).

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου. . . Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον

### Ἦχος Πλ. β'. Ὅλην ἀποθέμενοι...

Μὴ ἐγκαταλίπῃς με, παραπτωμάτων εἰς χάος, Ἀθλητὰ Χαράλαμπε, ἀλλὰ τάχος ἔξελε τῆς πωρώσεως· θλῖψις γὰρ Ἔνδοξε, καὶ ἀχλὺς τήκει με, τῶν ἀπείρων παραπτώσεων, ὧν με ἀ-



πάλλαξον, τάχος Ἱερεῦ Πανaοίδιμε, πρὸς Κύριον πρεσβείαις σου, ὡς θερμὸς προστάτης τῶν δούλων σου, δέομαι θεόφρον, ἐπάκουσον ἡμῶν τῶν ταπεινῶν, ἐξαγαγὼν πάντας Ἅγιε, τῶν δεινῶν καὶ θλίψεων.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ.

## ᾨδὴ Ζ'. Παῖδες Ἑβραίων.

Σῶσον Παμμάκαρ σοὺς οἰκέτας, περιστάσεως καὶ ζάλης ἐναντίας, ταῖς εὐχαῖς σου Σοφὲ πρὸς Κύριον βοῶντας, εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἅγιον Πάτερ τῶν Ἁγίων, καθικέτευε ὑπὲρ τῶν σὲ τιμώντων, ἀπαλλάττων αὐτοὺς κακώσεως καὶ σάλου, εὐλογητὸς εἶ κράζοντας ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Γένος τὸ βρότειον ἐν πίστει, ἱκετεύει σε δυσώπησον τὸν Κτίστην, ἀπελάσαι ἡμῶν τὴν θραῦσιν ἐκβοώντων, εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας. Θεοτοκίον.

Ἔτεκες Ἄχραντε Μαρία, τὸν ἀχώρητον Δεσπότην τῶν ἁπάντων, ὃν ἀεὶ ὡς Υἱὸν ὑπὲρ ἡμῶν δυσώπει, νόσου καὶ πάσης θλίψεως, ἀπαλλάξαι Παναγία.

## ᾨδὴ Η'. Τὸν ἐν Ὄρει ἁγίῳ.

Ἱκετεύει Χαράλαμπος ὁ θεῖος, σὲ τὸν μόνον τῆς Δόξης Βασιλέα, ἀποσοβῆσαι λοιμικὴν ἀσθένειαν, τῶν ὑμνολογούντων καὶ δοξολογούντων αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὁ τῶν ὅλων Θεὸς τρισὶ προσώποις προσκυνούμενος, οἰκτείρησον τὸν Κόσμον, τοῦ Χαραλάμπου Σῶτερ ταῖς δεήσεσι, δέει σε ὑμνοῦντα καὶ δοξολογοῦντα εἰς πάντας τοὺς αἰῶνας.

Η Θεότης Πατὴρ Υἱὸς καὶ Πνεῦμα, ταῖς λιταῖς Χαραλάμπου πάντας ῥῦσαι, τῶν δυσχερῶν καὶ πάσης περιστάσεως, πίστει σε ὑμνοῦντας καὶ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Η Παρθένος καὶ μόνη Θεοτόκος, τὸν Παντάνακτα ἀλήκτως

www.tezaurliturgic.ro



ἱκετεύει, ὑπὲρ ἡμῶν ῥυσθῆναι περιστάσεων, ἀνυμνολογούντων ὡς Θεὸν τῶν ὅλων, αὐτὸν εἰς τοὺς αἰῶνας.

ᾠδὴ Θ'. Ἐξέστη ἐπὶ τούτῳ...

Ἐξίσταντο οἱ Τύραννοι Ἀθλητά, θεωροῦντες τὴν χάριν τὴν ἔνθεον, τὴν ἐπὶ σοί, Μάρτυς ἐνεργοῦσαν ὑπερφυῶς, ἡνίκα ἐξηρτήθησαν, ἄνω εἰς ἀέρα, καὶ ὁ τμηθεὶς τὰς χεῖρας ἀοράτως καὶ ξύλον τὸ βλαστῆσαν, ταῦτα θεώμενοι ἐξέστησαν.

Τὴν νόσον τὴν λοιμώδη καὶ μιαράν, ἀπελαύνων, Χαράλαμπες Ἔνδοξε, ῥῦσαι ἡμᾶς πάσης δυσχερείας τῶν δυσμενῶν δαιμόνων τε κακώσεως, πονηρῶν ἀνθρώπων καταδρομῆς, καὶ φθόνου καὶ μανίας καὶ τῆς συκοφαντίας, καὶ τῆς κολάσεως, Ἀοίδιμε.

Τριάδα ὑπερούσιον προσκυνῶν, σὺν Ἀγγέλοις Χαράλαμπε Ἔνδοξε, ταῖς σαῖς λιταῖς, οἴκτειρον ἱκέτας σου ἱερέ, καὶ τοὺς ὑμνολογοῦντάς σε, πάντων ἀδοκήτων καὶ συμφορῶν, ἀπάλλαξον θεόφρον, παντοίας τε κακίας, καὶ τῆς Γεέννης Παμμακάριστε.

Θεοτοκίον.

Κυρία τῶν Ἀγγέλων καὶ τῶν βροτῶν, καὶ ἁπάσης τῆς Κτίσεως Δέσποινα, τῆς ἀπειλῆς, σάλου τε κακίας τῆς μιαρᾶς, καὶ βασκανίας Ἄχραντε, καὶ ζυλοτυπίας τῆς βδελυρᾶς, ἀπάλλαξον ταχέως τοὺς σὲ δοξολογοῦντας, καὶ αἰωνίου κατακρίσεως.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Καὶ τὰ παρόντα Μεγαλυνάρια.

Ἀθλοφόρων κλέος τὸ ἱερόν, Μάρτυρα Κυρίου, τὸν Χαράλμαπον οἱ Πιστοί, ἐλατῆρα ὄντα ἰσχυρὸν πάσης νόσου καὶ παθῶν, μετὰ πόθου ὑμνολογήσωμεν.

Αἴτημα ὑπάρχει, Θαυματουργέ, τοῦτο σὸν θεόφρον, ἀπελαύνειν τὴν λοιμικήν, νόσον ἐξ ἀνθρώπων, διὸ αὐτὴν ὀξέως, ἀπέλασον λιταῖς σου, καὶ πᾶσαν κάκωσιν.

Θρόνῳ παριστάμενος τῷ φρικτῷ, τοῦ Θεοῦ τῶν ὅλων, ἐκδυσώπει ὑπὲρ ἡμῶν, ῥύσασθαι κινδύνων καὶ πάσης ἄλλης βλάβης, καὶ τῆς ἐπικειμένης ἡμῖν κολάσεως.

Χαράλαμπον πάντες τὸν θαυμαστόν, Ἱερομαρτύρων τὸ ἀ-



γλάϊσμα τὸ φαιδρόν, πόθῳ εὐφημοῦντες, βοήσωμεν συντόνως, λιταῖς σου πρὸς τὸν Κτίστην, ἡμᾶς οἰκτείρησον.

Τὸ παρὸν παρὰ τοῦ Ἀργυρουπόλεως Σεραφείμ.

Δεῦτε φιλομάρτυρες εὐλαβῶς, Μνήμην Χαραλάμπου ἀνυμνήσωμεν τοῦ κλεινοῦ, πρὸς αὐτὸν βοῶντες, σοὺς δούλους σκέπε Μάρτυς, λοιμικῆς τε νόσου καὶ πάσης θλίψεως.

καὶ Θεοτοκίον Πᾶσαι τῶν Ἀγγέλων.

Τρισάγιον. εἶτα τὸ Τροπάριον Ἦχος Α'.

Ὡς στύλος ἀκλόνητος τῆς Ἐκκλησίας Χριστοῦ... κτλ.

(Ζήτει Φευρουαρίου 10).

ὁ Ἱερεὺς μνημονεύει.

Ἐν τῇ ἀπολύσει ψάλλομεν τὸ παρὸν Ἦχος Δ'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν...

Πάντας ἐλεεῖς, Μάρτυς Χριστοῦ, τοὺς σοὶ προσδραμόντας ἐν πίστει, ταῖς ἱκεσίαις ταῖς σαῖς, Ἀθλητὰ Χαράλαμπε ἀξιοθαύμαστε· διὸ οἴκτειρον ἅπαντας καὶ νῦν τοὺς σοὺς δούλους, τάχιστα ῥυόμενος τῶν ἀδοκήτων δεινῶν, θλίψεως καὶ νόσου βαρείας, πάντων δυσχερῶν καὶ κινδύνων, καὶ τῆς ἐν Γεέννῃ κατακρίσεως.

ΤΕΛΟΣ.

---

# ΕΤΕΡΟΣ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ
## ΘΕΟΔΩΡΟΝ ΤΟΝ ΤΥΡΩΝΑ·
### ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τόν, Εὐλογητόν, τό, Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ'.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ...

ΤΟΝ γενναιότατον Χριστοῦ στρατιώτην καὶ εὐσεβῶν Χρι-



ΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

www.tezaurliturgic.ro



στιανῶν τὸν προστάτην,ὑμνολογοῦντες κράξωμεν ἐκ βάθους ψυχῆς· Ἅγιε Θεόδωρε, ταῖς ἐνθέρμοις λιταῖς σου, δαιμονικοῦ τεχνάσματος καὶ αἱρέσεως πάσης, τοὺς σοὺς οἰκέτας λύτρωσαι, Σεπτὲ, καὶ νόσου πάσης ταχέως ἀπάλλαξον.

Δόξα. καὶ νῦν. Θεοτοκίον Οὐ σιωπήσομεν...

Ὁ Ν΄. Καὶ ὁ Κανὼν Ἦχος Πλ. Δ΄. οὗ ἡ Ἀκροστιχίς.

« Θεοῦ σε μέλπω δωρεῶν Ἐπώνυμε. »

Καὶ ἐν τοῖς Θεοτοκίοις ΣΕΡΑΦΕΙΜ.

ᾠδὴ Α΄. Ὑγρὰν διοδεύσας.

Θεόδωρε Μάρτυς ἐν Οὐρανοῖς σὺν Ἀγγέλοις χαίρων, τοὺς τιμῶντάς σε εὐλαβῶς, καὶ προσκαλουμένους σε κινδύνων, καὶ περιστάσεων καὶ νόσων διάσωσον.

Εἰς ἄθεον δόγμα, Μάρτυς Χριστοῦ, σωτὴρ ἀνεφάνης καὶ ὑπέρμαχος κραταιὸς, πᾶσιν εὐσεβέσιν, ἐκ βρωμάτων θεοστυγῶν αὐτοὺς κωλύδοις ῥυσάμενος.

Ὁ στέφος ἀμάραντον ἐκ Θεοῦ, λαβὼν Χριστοῦ Μάρτυς, καὶ τοῖς Μάρτυσι συσκηνῶν, φύλαττε λιταῖς σου τοὺς ἐν πίστει καὶ εὐλαβείᾳ σὴν Μνήμην γεραίροντας. Θεοτοκίον.

Σοφίαν καὶ Λόγον τὸν τοῦ Πατρὸς ἀφράστως τεκοῦσα, τῆς ψυχῆς μου τὰ χαλεπὰ, θεράπευσον πάθη, ὦ Παρθένε, καὶ αἰωνίου χαρᾶς με ἀξίωσον.

ᾠδὴ Γ΄. Σὺ εἶ τὸ στερέωμα.

Ὕμνους, ὦ Θεόδωρε, νῦν ἐτησίους προσάγω σοι καὶ ἐκ ψυχῆς δέομαί σου, Μάκαρ ἐκ κινδύνων με λύτρωσαι.

Στήριγμα, Θεόδωρε, τῷ σῷ οἰκέτῃ γενήθητι, καὶ τὴν ὀρθὴν καὶ ἁγίαν Πίστιν, ταῖς πρεσβείαις σου κράτυνον.

Ἔχω τὴν καρδίαν μου προσηλωμένην, Θεόδωρε, ἐπὶ σοὶ νῦν, τῆς σῆς προστασίας καὶ τῆς σκέπης δεόμενος. Θεοτοκίον.

Ἔχων σε βοήθειαν, οὐκ αἰσχυνθήσομαι, Πάναγνε Μῆτερ Θεοῦ· ἔχων σε προστάτιν οὐ πτοοῦμαι τὴν κόλασιν.



ᾠδὴ Δ΄. Εἰσακήκοα Κύριε...

Μυσαρῶν ὡς διέσωσας τῶν τοῦ Παραβάτου βρωμάτων, Ἅγιε, τοὺς Πιστοὺς, οὕτω τοὺς δούλους σου τῆς αἱρετιζόντων λώβης φύλαξον.

Ἐκ κινδύνων καὶ θλίψεων πάντας ἀδοκήτων, Μάρτυς Θεόδωρε, διαφύλλατε ἀπήμαντον, τὸν πιστῶς τῇ σκέπῃ σου προστρέχοντα.

Λυτρωτὴς, ὦ Θεόδωρε, ὄντως εὐσεβούντων σὺ ἀναδέδειξαι, διαλύσας διατάγματα Ἰουλιανοῦ, τῇ ἐπινοίᾳ σου.

Θεοτοκίον.

Ῥῶσιν δίδου μοι, Πάναγνε, καὶ τὴν ζοφερὰν ψυχήν μου καταύγασον, αἴγλῃ θείᾳ· σὺ γὰρ ἔτεκες φῶς τὸ ἐνυπόστατον, Παναμώμητε.

ᾠδὴ Ε΄. Φώτισον ἡμᾶς...

Πόθῳ καὶ χαρᾷ ὑμνῳδίας σοι προσάγοντας, ἐκ τῶν τεχνασμάτων τοῦ πονηροῦ, ἀβλαβεῖς τηρεῖσθαι δεόμεθα, Θεόδωρε.

Ὡς τις ἀριστεὺς τὰς πλεκτάνας κατεσύντριψας τοῦ Ἀποστάτου, καὶ τοὺς εὐσεβεῖς,Μάρτυς Θεόδωρε πανσόφως σὺ διέσωσας.

Δέου τοῦ Θεοῦ, ὦ Θεόδωρε Πανεύφημε, ἐκ παντὸς κινδύνου καὶ χαλεπῶν νόσων ῥυσθῆναι, καὶ αἱρέσεων τοὺς δούλους σου.

Θεοτοκίον.

Ἄχραντον Ἀμνὸν, συλλαβοῦσα, Παναμώμητε, αἴροντα βροτῶν ἁμαρτήματα, λύσιν δυσώπει αὐτῶν δοῦναί μοι τῷ δούλῳ σου.

ᾠδὴ ΣΤ΄. Ἱλάσθητί μοι Σωτήρ.

Ὡς μάταιον καὶ σαθρὸν τοῦ Ἀποστάτου τὸ πρόσταγμα, Θεόδωρε θαυμαστὲ, ποτὲ σὺ κατήσχυνας, οὕτω νῦν ματαίωσον δρακοντείους δόλους, καὶ ἡμᾶς ἀτρώτους φύλαξον.

Ῥωσθεὶς δυνάμει Θεοῦ, τῆς εὐσεβείας ὑπέρμαχος, Θεόδωρε

www.tezaurliturgic.ro



πεφυκὼς, τὴν πλάνην ἐμείωσας· καὶ νῦν ἱκετεύω σε τῶν παθῶν εἰκόνας τῆς ψυχῆς μου ἐξαφάνισον.

Ἐνθέῳ καὶ εὐσεβεῖ ζήλῳ ὡς πάλαι διέσωσας τοὺς Ὀθοδόξους Σοφὲ, βουλῆς τοῦ ἀλάστορος οὕτω διαφύλαξον ἡμᾶς ἀσαλεύτους ἐν τῇ Πίστει σοῦ δεόμεθα. Θεοτοκίον.

Φωτὸς νεφέλη σὺ εἶ, καὶ τοῦ Θεοῦ θρόνος ἔνδοξος, Παρθενομῆτορ Ἁγνή· ψυχῆς οὖν τὰ ὄμματα τῆς ἐμῆς νῦν φώτισον, καὶ παθῶν ἀχλύος τὴν καρδίαν μου καθάρισον.

Διάσωσον ἐρεσχελείας ἁπάσης ἐχθρῶν ἐχθίστων, Θεόδωρε Ἀθλητὰ, ἡμᾶς τοὺς πόθῳ τιμῶντάς σε, ὡς ἑτοιμοσβοηθὸς Ὀρθοδόξων.

Καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β'.

Προστάτα τῶν Πιστῶν ἀκαταίσχυντε, καὶ μεσίτα τῶν δεομένων ἑτοιμότατε, μὴ παρίδῃς ἡμῶν τῶν δεομένων σου τὰς οἰκτρὰς φωνὰς, ἀλλὰ πρόφθασον ὡς συμπαθὴς, καὶ ἀπάλλαξον ἡμᾶς, τῶν Μαρτύρων μέγιστε Θεόδωρε, πάσης κακουχίας καὶ περιστάσεως, καὶ σῶσον ἡμᾶς ταῖς ἐνθέρμοις σου πρὸς τὸν Κύριον δεήσεσι.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. . . .
Στίχος. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. . .

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· προσέχετε ἀπὸ τῶν ἀνθρώπων. . . κτλ (Ζήτει Ἀπριλίου 23).
Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου. . . Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. . .
Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον

## Ἦχος Πλ. β'. Ὅλην ἀποθέμενοι...

Λαμπρὰ καὶ χαρμόσυνος, ἡ παναγία σου Μνήμη, Θεόδωρε ἔνδοξε, ἐφέστηκε σήμερον, ἡμῖν ἅπασι· Σὺ γὰρ θαυμάσιε, τὸν λαὸν ἄχραντον τοῦ Κυρίου ποτὲ ἔσωσας, ἐν ἑνὶ θαύματι, κωλύ-



βοις κορέσας, Πανάγιε· καὶ νῦν σὲ ἱκετεύομεν, ῥῦσαι φιλευσπλάγχνως ἐκ θλίψεως, καὶ λύμης παντοίας, αἱρέσεως καὶ πάσης ἀπειλῆς, ἐχθρῶν ἀπίστων, πρεσβείαις σου ἐνθέοις τοὺς δούλους σου.

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου, κτλ.

## ᾨδὴ Ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὦ Θεόδωρε Μάρτυς, σὲ συλλήπτορα ἔχων τῆς σωτηρίας μου, καὶ πίστεως τῆς θείας προστάτην, καὶ ζωῆς μου ἀκαταίσχυντον φύλακα, οὐ πτοοῦμαί ποτε δαιμόνων ἐπηρείας.

Νηστείαν τὴν ἁγίαν, ὡς ἐτήρησας πάλαι, Μάρτυς, ἀμόλυντον, καὶ νῦν οὕτω σοὺς δούλους, αὐτὴν ταύτην λιταῖς σου, διανύσαι ἀξίωσον, περιχαρῶς καὶ ἁγνῶς, Θεόδωρε Παμμάκαρ.

Ἐπινοίᾳ ἐνθέῳ ὡς διέλυσας, Μάκαρ Τυράννου σόφισμα, καὶ νῦν οὕτω πρεσβείαις ταῖς σαῖς τῆς ἐπινοίας τοῦ ἐχθροῦ περισώζεσθαι, παρακαλοῦμεν θερμῶς, οἱ δοῦλοί σου Τρισμάκαρ.

Θεοτοκίον.

Ἐκ γαστρός σου προῆλθε, σαρκωθεὶς ὁ τῶν ὅλων, Παρθένε, Κύριος· αὐτὸν οὖν ἐκδυσώπει ῥυσθῆναί με πταισμάτων, καὶ κινδύνων καὶ θλίψεων. Σὺ γὰρ τῶν εὐσεβῶν πέφυκας ἡ προστάτις.

## ᾨδὴ Η'. Τὸν Βασιλέα.

Παρανομήσαντα Ἀποστάτην ὡς πάλαι, σὺ κατῄσχυνας σοφῇ ἐπινοίᾳ, καὶ ἡμᾶς ἀσέμνων φύλαξον μιασμάτων.

Ὡς νουνεχὴς, ὦ Θεόδωρε Μάρτυς, σὺ κατέβαλες δεινὸν Ἀποστάτην, καὶ τοὺς Ὀθοδόξους σοφίᾳ σου ἐρρύσω.

Νόμῳ τῷ θείῳ πεφραγμένος, θεόφρον, ἀνομώτατον διηλέγξας νόμον, φυλάξας ἐκ τούτου τοὺς εὐσεβεῖς ἀτρώτους.

Θεοτοκίον.

Ἵνα ὑμνῶ σε μετὰ πόθου, Παρθένε, νοητῆς αἰχμαλωσίας με ῥῦσαι, λύτρον ἀντιδοῦσα τὸ Πάθος τοῦ σοῦ Τόκου.

## ᾨδὴ Θ'. Κυρίως Θεοτόκον.

Ὑμνῶν σε ἐκ καρδίας, Θεόδωρε Μάρτυς, δώρων τῶν θείων

www.tezaurliturgic.ro



ἐμὲ καταπλούτισον, ὡς δώρου θείου φερώνυμος, Πανακήρατε.

Μαρτυρικῇ τῇ αἴγλῃ, Θεόδωρε Μάκαρ, καταλαμπόμενος, πάντας τοὺς σὲ γεραίροντας, φωτὶ ἀΰλῳ πρεσβείαις σου καταλάμπρυνον.

Ἐκ τοῦ πυρὸς, ὦ Μάρτυς, σθένει ὡς ἐῤῥώσθης τῷ θεϊκῷ, παρανόμου οὕτως ἡμᾶς βουλῆς, τῶν τυραννούντων, Θεόδωρε, σὺ διάσωσον Θεοτοκίον.

Μαρία Θεὸν Λόγον ὃν ἔτεκες δυσώπει, ὑπὲρ τῶν πίςει καὶ καὶ πόθῳ τιμώντων σε, τοῦ λυτρωθῆναι κινδύνων καὶ περιστάσεων.

Τὸ, Ἄξιον ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Τῶν καμνόντων πέφυκας ἰατρὸς, αἰχμαλώτων ῥύστης καὶ μεσίτης ἁμαρτωλῶν, εὐσεβῶν προστάτης, παράκλησις πενθούντων, καὶ κεραυνὸς Τυράννων, σοφὲ Θεόδωρε.

Ὑπὸ Θεοδώρου Ἀριστοκλέους.

Τὸν ἀπὸ βρωμάτων τῶν μυσαρῶν, τῶν τοῦ Παραβάτου λυτρωσάμενον τοὺς Πιστοὺς, καὶ θρέψαντα τούτους τροφῇ τῇ τῶν κωλύβων, Θεόδωρον τὸν θεῖον πάντες ὑμνήσωμεν.

Σήμερον μετέστρεψεν εἰς χαρὰν Πιστῶν τὰς καρδίας, τε θλιμμένας πάλαι δεινῶς, καὶ τὴν παραβάτου κατέστρεψεν ἀπάτην, Θεόδωρος ὁ Μάρτυς ὃν εὐφημήσωμεν.

Καὶ τὸ, Πᾶσαι τῶν Ἀγγέλων.

Τρισάγιον καὶ τὸ Τροπάριον Ἦχος Β'.

Μεγάλα τὰ τῆς Πίστεως κατορθώματα. . . . κτλ.
(Ζήτει Σαββάτῳ πρώτῳ τῶν Νηστειῶν· ἢ Φευρουαρίου 17)

Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύει.

Εἰς τὴν Ἀπόλυσιν ψάλλομεν τὸ παρὸν Προσόμοιον, Ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Πάντων εὐσεβῶν σὺ ἀληθῶς, ἔνθερμος προστάτης ἐδείχθης, Μάρτυς Θεόδωρε· πάντες οὖν προσάγομεν σοὶ χαριστήρια, καὶ



σωτῆρα γινώσκοντες, ἐν πίστει βοῶμεν, ῥῦσαι ταῖς πρεσβείαις σου, τῆς προσβολῆς τῶν ἐχθρῶν, πάσης ἀπειλῆς, πάσης λύπης, καὶ αἱρετικῶν τυραννίας, τοὺς πιστῶς γεραίροντας τὴν Μνήμην σου.

ΤΕΛΟΣ.

# ΕΤΕΡΟΣ
# ΕΙΣ ΤΟΝ ΤΙΜΙΟΝ ΣΤΑΥΡΟΝ.

ΥΠΟ ΝΙΚΗΦΟΡΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ ΤΟΥ ΚΡΗΤΟΣ·
ΔΙΟΡΘΩΘΕΙΣ
ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος· καὶ τὸ Τροπάριον Ἦχος Δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῷ ζωηφόρῳ νῦν Σταυρῷ προσπελάσωμεν οἱ μακρυνθέντες τοῖς κακοῖς καὶ προσψαύσωμεν, ἐν ἐπιστρόφῳ λέγοντες καρδίᾳ πιστῶς, πρόφθασον, βοήθησον, ὁ Σταυρὸς τοῦ Κυρίου, φάνηθι λυτρούμενος ἐκ παντοίων κινδύνων· μὴ ἐποφθῶμεν ἄπρακτα ζητεῖν, τὴν σὴν γὰρ σκέπην βεβαίαν ἐλπίζομεν.

Οὐ δυνησόμεθα Σταυρὲ τοῦ Κυρίου, τὰ σὰ θαυμάσια ὑμνεῖν οἱ κατάκριτοι. Εἰ μὴ γὰρ σὺ παρεῖχες τὰ δωρήματα, τίς ἡμῖν τὴν ἴασιν τῶν τοῦ σώματος νόσων; τίς δὲ καὶ τὴν κάθαρσιν τῶν ψυχῶν ἂν ἐδίδου; οὐ μακρυνθῶμεν πώποτε ἐκ σοῦ· σὺ γὰρ σκέπεις πάντας θνητοὺς ἐκ παντοίων κακῶν.

Εἶτα ὁ Ν'. καὶ ὁ Κανὼν,

ᾨδὴ Α'. Ἦχος Πλ. Δ'. Ὑγρὰν διοδεύσας.

Στίχος. Σταυρὲ τοῦ Χριστοῦ σῶσον ἡμᾶς τῇ δυνάμει σου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Σταυρὲ σκῆπτρον ἅγιον καὶ σεπτὸν, τοὺς ἐν εὐλαβείᾳ προσκυνοῦντας τὴν ἱερὰν σκέπην σου ἀτρώτους ἀπὸ βλάβης καὶ πειρασμῶν καὶ κινδύνων διάσωσον.

Σταυρὲ σκῆπτρον ἅγιον τοῦ Χριστοῦ, τοὺς σὲ προσκυνοῦντας καταξίωσον ἐσαεὶ, τῷ Κτίστῃ Θεῷ καθυπακούειν, καὶ ὑπ' αὐτοῦ βασιλεύεσθαι ποίησον.

Σταυρὲ ἡ βοήθεια τῶν πιστῶν, δίδου βοηθείας τοῖς ὑμνοῦσι τὸ ἱερὸν κράτος σου, καὶ αἴρειν τὰ βραβεῖα, κατὰ παθῶν ψυχοφθόρων ἐνίσχυσον. Θεοτοκίον.

Σταυρὸν καθορῶσα Ἁγνὴ ἀμνὰς, τοῦ ἁγνῶς τεχθέντος ἐξ αὐτῆς, οὗτος νῦν ἐςὶ, Πιςῶν σωτηρία ἀνεβόα, καὶ κραταιὰ προστασία καὶ στήριγμα.

ᾠδὴ Γ'. Οὐρανίας ἀψῖδος.

Ο Σταυρὸς τοῦ Δεσπότου, χαῖρε νεκρῶν ἔγερσις, χαῖρε ἀσθενούντων ἡ ῥῶσις, χαῖρε ἀντίληψις· τοὺς προσκυνοῦντάς σε φύλαττε φρούρει καὶ σκέπε, ἐκ τῶν ὁρωμένων τε καὶ ἀοράτων ἐχθρῶν.

Ο Σταυρὸς τοῦ Κυρίου, χαῖρε Πιστῶν καύχημα, χαῖρε κραταιὰ προστασία, χαῖρε παράκλησις· τοὺς προσκυνοῦντάς σε ἐκ περιστάσεως ῥῦσαι, καὶ δεινῆς κακώσεως καὶ πάσης θλίψεως.

Ο Σταυρὸς τοῦ Κυρίου,, χαῖρε στεῤῥὸν ἔῤῥεισμα, χαῖρε τῶν ὑμνούντων σε φύλαξ, χαῖρε προπύργιον· τοὺς προσκυνοῦντάς σε ἐκ τῶν τοῦ βίου σκανδάλων, ῥῦσαι καὶ διάσωσον θείᾳ δυνάμει σου. Θεοτοκίον.

Ο Σταυρὸς τοῦ Υἱοῦ σου, παρθενικὸν καύχημα, πᾶσί σου τὸν Τόκον ὑμνοῦσι δύναμις πέφυκεν, οὗ ἡ προσκύνησις καὶ τὸ πρὸς σὲ καταφεύγειν, πάθη θεραπεύουσι ψυχῆς καὶ σώματος.

ᾠδὴ Δ'. Εἰσακήκοα Κύριε. . .

Ο Σταυρὸς ὁ Πανάγιος, πᾶσι τοῖς ὑμνοῦσιν αὐτὸν τὴν ἴασιν καὶ πταισμάτων ἀπολύτρωσιν, ἐμφανῶς ὁρᾶται χαριζόμενος.



Τῶν ἀμέτρων πταισμάτων μου, ῥοῦν τὸν θολερώτατον ἀποξήρανον, ὁ βαστάσας τὸν ξηράναντα ἀθεΐας ὕλην, Σταυρὲ Τίμιε.

Αμαρτίαις συμπέφυρμαι, καὶ ἐκ τούτων ἦλθον εἰς ἀλλεπάλληλον ἀῤῥωστίαν· ὅθεν κράζωσι, ἄμφω τὰς Ἰάσεις, Σταυρὲ δώρησαι. Θεοτοκίον

Οἱ Σταυρὸν καὶ τὴν Ἄχραντον, ἔχοντες ἐλπίδα οὐκ αἰσχυνθήσονται· ἡ πρεσβεία γὰρ καὶ δύναμις, τῆς Μητρὸς καὶ σκήπτρου σφόδρα δύνανται.

ᾠδὴ Ε'. Φώτισον ἡμᾶς.

Γλύκανον ἡμῶν τὴν πικρίαν τῶν θλίψεων, Σταυρὲ Κυρίου, ὁ πάλαι τῆς μεῤῥᾶς πικρῶν ὑδάτων, τὴν πικρίαν Ἰασάμενος.

Σκέπασον ἡμᾶς τῇ δυνάμει σου πανάγιε Σταυρὲ Κυρίου, ἐν σοὶ γὰρ τοῦ Πατρὸς Ἰσχὺς ἐπήρθη, τὸ σὸν κράτος ἐνισχύουσα.

Κούφισον ἡμῶν ἅπαν ἄλγος τε καὶ κάκωσιν καὶ σκυθρωπότητα ἐκ τῶν καρδιῶν, Σταυρὲ Κυρίου· δέδοταί σοι γὰρ τὸ δύνασθαι. Θεοτοκίον.

Εχομεν Πιστοὶ προστασίαν πρὸς τὸν Κύριον, τὴν Παναγίαν Παρθένον καὶ τὸν Σταυρὸν, ὧν καταπλήττει καὶ τοὺς δαίμονας ἡ δύναμις.

ᾠδὴ ΣΤ'. Τὴν δέησιν ἐκχεῶ.

Τὸ ὅπλον τῶν βασιλέων ὑμνῶ σε, τὴν ςολὴν τῶν Ἱερέων ὑψῶ σε, Χριστιανῶν τὴν ἐλπίδα ἁπάντων, ὑμνολογῶ σε Σταυρὲ Παμμακάριστε, τὸ καύχημα κἀμοῦ τοῦ σοῦ, ὅν σε ὅπλον ὡς μέγα ἀμπέχομαι.

Σὲ σκέπην Χριστιανοὶ γινώσκομεν, καὶ καυχόμεθα ἐν σοὶ Ξύλον θεῖον· εἰς πάντα γὰρ σὲ εὑρίσκομεν κράτος, καὶ παντελῆ σωτηρίαν καὶ σύμμαχον, τὴν χάριν ὅθεν καὶ ἡμῖν, τοῖς ὑμνοῦσί σε πόθῳ κατάπεμψον.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



Ο Κύριος ἰσχυρὸν ἡμῖν τεῖχος, καὶ προστάτην καὶ φρουρόν σε παρέσχε, καὶ γὰρ ἐν σοὶ, ἐναντίων δυνάμεις, ἐξηφανίσθησαν σθένει τοῦ κράτους σου. Ὡς ἔχεις οὖν πᾶσαν ἰσχὺν, ἀσθενοῦντας ἡμᾶς ἰσχὺν ἔνδυσον. Θεοτοκίον.

Σωτῆράς μου ἐπιγράφομαι πόθῳ, τοὺς τὸν Κτίςην μου σαρκὶ δεξαμένους, τὴν μὲν Ἁγνὴν, ὡς ζωὴν ἀφθαρτοῦσαν· τὸν δὲ Σταυρὸν ὡς νεκρῶν ζωοπάροχον. Νεκρώσει οὖν ζωοποιῷ ὁ Σταυρὸς καὶ ἡ Κόρη ζωώσατε.

Διάσωσον Σταυρὲ Κυρίου τὴν ποίμνην σου ἀπὸ βλάβης, ὅτι πάντες ἐν σοὶ καυχώμεθα, καὶ γινώσκομεν τὴν σκέπην σου, σωτηρίαν καὶ κράτος.

Ἐπίσκεψε τῇ σῇ δυνάμει τοὺς πίστει σὲ προσκυνοῦντας, Τίμιε Σταυρὲ ἐξ ἐχθρῶν παντοίας κακώσεως, καὶ δίωξον τὰς αὐτῶν περιστάσεις.

Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β'.

Τὸ ξύλον τῆς ζωῆς καὶ δύναμις ὑπέροπλος, ἐλπὶς τῶν Πιστῶν καὶ σκέπη καὶ κραταίωμα, ἐκ ψυχῆς βοῶμέν σοι, Σταυρὲ Κυρίου φύλαξ φάνηθι, καὶ ἐκ σκανδάλων τῶν τοῦ πονηροῦ, προφθάσας ῥῦσαι ἡμᾶς τοὺς ὑμνοῦντάς σε.

Καὶ εὐθὺς τὸ Προκείμενον. ἦχος, δ'.

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν. . .
Στίχος. Ὁ Κύριος ἐβασίλευσεν. . .

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος· οὐδεὶς ἀναβέβηκεν. . . . κτλ·
(Ζήτει Κυριακῇ πρὸ τῆς Ὑψώσεως).

Δόξα. Τῇ τοῦ θείου Σταυροῦ σου δυνάμει ἐλεῆμον, ἐξάλλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου. . .
Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον

## Ἦχος Πλ. Β'. Ὅλην ἀποθέμενοι.

Τὸ παρὸν παρὰ τοῦ Ἀργυρουπόλεως Σεραφείμ.



Σταυρὲ πανσεβάσμιε, ὃν περιέπουσι τάξεις, Ἀγγέλων γηθόμεναι· σήμερον ὁρώμενος θείῳ νεύματι, δικαιοῖς ἅπαντας τοὺς πλοπῇ βρώσεως ἀπωσθέντας καὶ εἰς θάνατον καθυποκύψαντας· ὅθεν σε καρδίᾳ καὶ χείλεσι πιστῶς περιπτυσσόμενοι, τὸν ἁγιασμὸν ἀρυόμεθα· ὑμνεῖτε βοῶντες Χριστὸν τὸν ὑπεράγαθον Θεὸν, καὶ τὸ αὐτοῦ προσκυνήσωμεν θεῖον ὑποπόδιον.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ.

## ᾠδὴ Ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας. .

Τὸ κράτος τοῦ θανάτου, τεθανάτωται πάλαι τῆς κρεμασθείσης ζωῆς, θανάτῳ ζωηφόρῳ, Σταυρὲ ἐν σοὶ, διό σε ἱκετεύω κραυγάζων σοι, τῶν θανατούντων παθῶν, ῥῦσαί με νῦν καὶ σῶσον.

Τὴν βροτῶν σωτηρίαν, ὁ Σωτὴρ ἠβουλήθη ἐναπεργάσασθαι ἐν ξύλῳ ζωηφόρῳ, διδοὺς τοῖς σωζομένοις μελῳδεῖν τὰ σωτήρια· χαῖρε Σταυρὲ τοῦ Χριστοῦ, Πιστῶν ἁπάντων σῶστα.

Τοῦ ξύλου τῆς κατάρας, οἱ τρυφήσαντες εὗρον τὰς ἀφεσίμους ἐν σοὶ, ἐκτάσει εὐλογίας χειρῶν τῶν τοῦ Δεσπότου, διὸ πάντες σοι κράζομεν· τὴν εὐλογίαν Σταυρὲ δίδου τοῖς σὲ τιμῶσι. Θεοτοκίον.

Καυχῶμαι τὴν δυάδα, προβαλλόμενος πρέσβεις πρὸς τὸν Σωτῆρα Χριστὸν, Μητέρα καὶ τὸ σκῆπτρον· ἰσχύει γὰρ ἡ Μήτηρ, καὶ τὸ σκῆπτρον κρατύνει με, χαῖρε τὸ σκῆπτρον Χριστοῦ, χαῖρε ἡ Μήτηρ τούτου.

## ᾠδὴ Η'. Τὸν Βασιλέα.

Τοὺς προσκυνοῦτάς σε, ὦ Σταυρὲ διατήρει, πειρασμῶν καὶ κινδύνων ἀτρώτους· ἔχεις γὰρ σὴν σκέπην φρουροῦσαν Πιστοὺς πάντας.

Τὰς ἀῤῥωστίας τὰς τῆς σαρκὸς ἰατρεύεις, καὶ σπιλάδας ψυχῶν ἐκκαθαίρεις. Ὅθεν σὲ ὑμνοῦμεν, Σταυρὸν τὸν τοῦ Κυρίου.

Τοὺς τῷ σημείῳ σου ἑαυτοὺς σημειοῦντας, τῶν παγίδων λύτρωσαι τοῦ σκότους, Σταυρὲ τοῦ Κυρίου τοῦ διὰ τοῦ σοῦ σημείου.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Τοῦ Βασιλέως τῶν Οὐρανῶν τὴν Μητέρα, καὶ Σταυρὸν τοῦ Σωτῆρος ἐν πίστει, πάντες προσκυνοῦμεν, ὥσπερ κοινοὺς προστάτας.

ᾠδὴ Θ′. Κυρίως Θεοτόκον. . .

Ἣν φέρω σοι ἐκ πόθου δέησιν Κυρίου δέξαι Σταυρὲ, καὶ τὴν χάριν παράσχου πιστῶς, σὲ προσκυνοῦντι ἐν πίστει καὶ μεγαλύνοντι.

Σημεῖον νικηφόρον πάντες οἴδασί σε, οἱ διὰ σοῦ βραβεῖα καὶ νίκας αὐτῶν, σὺν εὐλαβείᾳ λαβόντες, καὶ μεγαλύνουσι.

Τὸ χαῖρε τοῦτο τέλος τοῦ μικροῦ μου ὕμνου, τοῦ διὰ σοῦ νικηφόρου ὀφθέντος Σταυρὲ, δέξε Χριστέ μου τὸ χαῖρε, καὶ δίδου μοι τὰ χαρμόσυνα. Θεοτοκίον.

Οὐ θέλω σιωπῆσαι τὰ τῆς Θεοτόκου, καὶ τὸν Σταυρὸν μὴ κηρύττειν, ὃς σκέπει πιστούς· οὐ σιωπῶ, ἀλλὰ λέγω, εἰ καὶ ἐσίγησα.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Καὶ τὰ παρόντα Μεγαλυνάρια.

Ὑπὸ τοῦ Ἀργυρουπόλεως Σεραφείμ.

Τὸν Σταυρὸν τὸν τίμιον τοῦ Χριστοῦ, σήμερον ἐκ πόθου προσκυνήσωμεν εὐλαβῶς, καὶ ἐν κατανύξει βοήσωμεν συμφώνως Σταυρὲ ζωῆς τὸ ξύλον Πιστοὺς στερέωσον.

Πάντες προσκυνοῦμεν πανευλαβῶς, καὶ φόβῳ καὶ πόθῳ, σὺν ἀγάπῃ τε καὶ χαρᾷ, τιμῶντες ὑμνοῦμεν τὸ πανάγιον ξύλον, χείλεσιν ἀναξίοις κατασπαζόμενοι.

Σκῆπτρον ἁγιώτατον τοῦ Χριστοῦ, ζωηφόρον ξύλον, ἱερέων ἡ καλλονὴ, Βασιλέων νῖκος, στήριγμα ὀρθοδόξων, πάντας τοὺς σὲ τιμῶντας, Σταυρὲ διάσωσον.

Ἀλαλα τὰ χείλη τῶν ἀσεβῶν τῶν μὴ προσκυνούντων τὸν Σταυρὸν τὸν ζωοποιὸν τὸν ἁγιασθέντα Αἵματι τῷ πανσέπτῳ Χριστοῦ τοῦ ζωοδότου ὃν μεγαλύνομεν. Θεοτοκίον.



Ὡς ὑπὲρ τὴν ψάμμον τῶν θαλασσῶν, ὑπὲρ ἀριθμὸν τε τῶν ἀστέρων τοῦ Οὐρανοῦ, μόνος ἁμαρτήσας καὶ μόνος κατεκρίθην, ὦ Δέσποινα τοῦ Κόσμου σύ με διάσωσον.

Τρισάγιον. Καὶ τὸ Τροπάριον. Ἦχος Α′.

Σῶσον Κύριε τὸν Λαόν σου καὶ εὐλόγησον τὴν κληρον. κτλ

Ὁ Ἱερεὺς μνημονεύει.

Ἐν δὲ τῷ τέλει ψάλλεται τὸ παρὸν, ἦχος Β′. Ὑπὸ τοῦ Ἀργ. Σερ.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Λάμψον φῶς ἀπρόσιτον ἡμῖν· ἔργον γὰρ ἐσμὲν τῶν χειρῶν σου πάντες, Χριστὲ Βασιλεῦ· νίκῃ δὲ στεφάνωσον τοὺς σὲ ὑμνοῦντας πιστῶς κατ᾽ ἐχθρῶν ἀοράτων τε καὶ ὁρατῶν ἅμα, τεῖχος καὶ ὀχύρωμα, ἰσχὺν καὶ ἄσυλον, ὄλβον τὸν Σταυρόν σου πλουτοῦντας, Σῶτερ, ὁ τὴν ἄφθορον μήτραν, ὑποδεὶς ἀῤῥήτως τῆς Θεόπαιδος.

ΤΕΛΟΣ.

# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ

## ΓΕΩΡΓΙΟΝ ΤΟΝ ΤΡΟΠΑΙΟΦΟΡΟΝ·

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ′.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ. . .

ΤΟΝ γενναιότατον Χριστοῦ στρατιώτην, καὶ Ἀθλητὴν πανάληθῆ τοῦ Σωτῆρος, καὶ Ἰατρὸν πανάριστον τῶν νόσων, ἐν ᾠδαῖς ἅπαντες τιμήσωμεν πρὸς αὐτὸν ἐκβοῶντες· λύτρωσαι πρεσβείαις σου τῆς παρούσης ἀνάγκης, τῆς ἀφορήτου ἵνα σε ἀεὶ, ὡς εὐεργέτην ὑμνῶμεν Γεώργιε.

www.tezaurliturgic.ro



Δόξα· Καὶ νῦνΘεοτοκίον. Οὐ σιωπήσομεν. . . .

Ὁ Ν΄. καὶ ὁ κανών. Ἦχος πλ. Δ΄. ἔχων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις

ΣΕΡΑΦΕΙΜ.

ᾠδὴ Α΄. Ἦχος Πλ. Δ΄. Ὑγρὰν διοδεύσας.

Γεώργιε Μάκαρ ἀγωνισθεὶς τὸν θεῖον ἀγῶνα, ἠξιώθης ἐπιτυχεῖν, τῆς ἐπουρανίου εὐφροσύνης, ὑπὲρ σῶν δούλων πρεσβεύων πρὸς Κύριον.

Ενίκησας δόγμα Τυραννικὸν, ἐνθέοις ἀγῶσιν· ἀλλὰ δέομαι, Ἀθλητὰ, ταῖς σαῖς μεσιτείαις οἴκτειρόν με, ὑπὸ τῶν νόσων νικώμενον πάντοτε.

Ναὸς χρηματίσας τοῦ Παντουργοῦ, τοὺς τῇ σῇ Εἰκόνι προσπελάζοντας εὐλαβῶς, Γεώργιε Μάκαρ ταῖς εὐχαῖς σου, κατοικητήρια δεῖξον τοῦ Πνεύματος. Θεοτοκίον.

Σὺ εἶ, Παρθένε ἄσπιλε τῆς ἐμῆς ψυχῆς ταλαιπώρου, ἡ ἰσχύς τε καὶ ἡ ἐλπίς· τῆς δ' ἐσκοτισμένης μου καρδίας, σὺ εἶ τὸ φῶς τὸ ἀνέσπερον, Πάναγνε.

ᾠδὴ Γ΄. Σὺ εἶ τὸ στερέωμα.

Ἵλεων δεήσεσι ταῖς εὐπροσδέκτοις σου ποίησον τὸν Λυτρωτὴν, τοῖς σὲ ἀνυμνοῦσιν, Ἀθλοφόρε Γεώργιε.

Δὸς ἡμῖν βοήθειαν τοῖς σοῖς οἰκέταις ἐν θλίψεσιν οὖσι δειναῖς, καὶ παντοίαις νόσοις, ταῖς λιταῖς σου Γεώργιε.

Ενθεος γενόμενος καὶ φωτισμοῦ παντὸς ἔμπλεως, πάντων ἡμῶν τὰς ψυχὰς αὐγάζεις, ταῖς εὐχαῖς σου Γεώργιε. Θεοτοκίον.

Εξωτέρου σκότους με, πυριφλεγοῦς πικροῦ σκώληκος, ῥῦσαι Ἁγνὴ, λιταῖς Μητρικαῖς σου, καὶ παντοίας κολάσεως.

ᾠδὴ Δ΄. Εἰσακήκοα Κύριε. . .

Ασθενείαις ὁ δείλαιος καὶ κινδύνοις πλείστοις ἀεὶ συνέχομαι, ὦ Γεώργιε, βοήθει μοι, τῷ κατεγνωσμένῳ ἱκετεύω σε.



Δεσμευθεὶς διὰ Κύριον, πᾶσαν τοῦ Βελίαρ κακίαν ἔλυσας, ἐξ ἧς ἅπαντας περίσωζε,, τοὺς πιστῶς ὑμνοῦντάς σε, Γεώργιε.

Νοσημάτων καὶ θλίψεων καὶ παντοίας βλάβης ἡμᾶς ἀπάλλαξον, ὦ Γεώργιε Πανεύφημε, ταῖς πρὸς τὸν Σωτῆρα ἱκεσίαις σου Θεοτοκίον.

Ρῶσιν δός μοι, Πανάχραντε, καὶ ἐκ χαλεπῶν κινδύνων διάσωσον, καὶ παθῶν κοπρίας ἔγειρον, σὸν ἀχρεῖον δοῦλον, ταῖς πρεσβείαις σου.

ᾠδὴ Ε΄. Φώτισον ἡμᾶς. . .

Φῶς τὸ νοητὸν τῇ καρδίᾳ σου δεξάμενος, τὴν τῆς ψυχῆς ἡμῶν ζοφότητα, φωτὶ τῷ θείῳ, Γεώργιε, καταλάμπρυνον.

Σὺ μαρμαρυγαῖς ταῖς τῆς χάριτος, Γεώργιε, καταυγαζόμενος φώτισον, ψυχὰς σῶν δούλων, σκοτισθείσας παραπτώμασι.

Πάθη χαλεπὰ τῆς ψυχῆς ἡμῶν, Γεώργιε, ταῖς πρὸς τὸν Πλάστην σου δεήσεσι, παρακαλοῦμεν ἰάτρευσον καὶ ἐξάλειψον. Θεοτοκίον.

Αχραντε ἡμᾶς ἀπογνώσεως ἐξάγαγε βυθοῦ, καὶ πρὸς ὅρμον τῆς ἀληθοῦς, τοὺς σοὺς οἰκέτας, μετανοίας καθοδήγησον.

ᾠδὴ ΣΤ΄. Ἱλάσθητί μοι.

Κατεύνασον τῶν παθῶν τὰς καταιγίδας, Γεώργιε, κινδύνους τε χαλεποὺς καὶ νόσους κατάπαυσον τῶν πίστει τιμώντων σε, ταῖς πρὸς τὸν Δεσπότην παναγίαις ἱκεσίαις σου.

Μεγάλους ἐπὶ τῆς γῆς ἀνύσας ἄθλους, Γεώργιε, μεγάλων ἡμᾶς κακῶν, κινδύνων καὶ θλίψεων, ταῖς σαῖς ἀπολύτρωσαι, πρὸς Θεὸν πρεσβείαις, ἵνα πόθῳ σε γεραίρωμεν.

Γεώργιε Ἀθλητὰ, τῇ σῇ πρεσβείᾳ διάσωσον, ἐκ πειρασμῶν χαλεπῶν, καὶ πάσης Αἱρέσεως, καὶ νόσων καὶ θλίψεων, ἡμᾶς τοὺς σοὺς δούλους, τοὺς τιμῶντας τὴν Εἰκόνα σου. Θεοτοκίον

Φωτί σου αὔγασον νοῦν, καὶ τὴν ψυχήν μου ἁγίασον, τὸν

www.tezaurliturgic.ro



ἐν Ἁγίοις Θεὸν ἐπαναπαυόμενον, ἀῤῥήτως κυήσασα, Παναγία Κόρη, εὐπροσδέκτοις ἱκεσίαις σου.

Διάσωζε ἐκ πάσης νόσου, Γεώργιε Μάκαρ, ταῖς πρὸς Θεὸν ἐνθέρμοις πρεσβείαις σου, τοὺς προστρέχοντας τῇ σεπτῇ σου Εἰκόνι.

Καὶ Θεοτοκίον Ἄχραντε . .

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β΄.

Προστάτην σε θερμὸν καὶ τεῖχος ἀπροσμάχητον. πλουτοῦντες ἀεὶ οἱ σοὶ προσπελάζοντες, γοερῶς ἐκβοῶμέν σοι· Πανσέβαστε Γεώργιε, πρόφθασον, καὶ ἐκ παθῶν ἡμᾶς καὶ θλίψεων ἀπάλλαξον, ταῖς θείαις πρὸς τὸν Σωτῆρα πρεσβείαις σου.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δ΄.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. . . .

Στίχος. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος· ταῦτα ἐντέλλομαι ὑμῖν. . . κτλ

(Ζήτει Ἀπριλίου 23).

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου. . . Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. . .

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον

Ἦχος Πλ. β΄. Ὅλην ἀποθέμενοι. . .

Ὅλην ἀποθέμενος βιωτικὴν τυραννίδα, ὀπίσω σου ἔδραμεν ὁ σεπτὸς Γεώργιος, Θεὲ Ἄναρχε, καὶ τερπνὰ ἅπαντα καὶ δεσμὸν ἄλυτον, ὡς ἱστὸν ἀράχνης ἔλυσες, διὸ καὶ ἔτυχε τῆς σῆς Βασιλείας, Ἀόρατε· αὐτοῦ οὖν ταῖς δεήσεσιν, ἱλασμὸν, Οἰκτίρμον παράσχου μοι τῶν πλημμελημάτων, καὶ δεῖξόν με ἀνώτερον παθῶν, τῶν ἐνοχλούντων μου, Δέσποτα, τὴν ψυχὴν ἑκάστοτε.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου, κτλ.

ᾨδὴ Ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Κοσμικῶν με σκανδάλων, καὶ παθῶν ἀτιμίας καὶ πάσης θλίψεως, Γεώργιε εὐχαῖς σου, διάσωζε καὶ δίδου ἀναμέλπειν ἑκάστοτε· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητός εἶ.



Ῥαθυμίας ἀτόπου καὶ δεινῆς ἁμαρτίας, ταῖς ἱκεσίαις σου, Γεώργιέ με σῶσον, προστρέχοντα ἐν πίστει τῇ θερμῇ ἀντιλήψει σου· ὅπως τιμῶ σε πιστῶς εἰς πάντας τοὺς αἰῶνας.

Ὦ Γεώργιε Μάκαρ, δυσχερείας τοῦ βίου κλυδωνιζόμενον, μηδόλως με παρίδῃς ἀλλ᾽ οἴκτειρον εὐχαῖς σου, καὶ διάσωσον ψάλλοντα· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητός εἶ.

Θεοτοκίον.

Ἐν τῷ βίῳ τὸν χρόνον ἀμελείᾳ, Παρθένε ἐκδαπανήσας πολλῇ, προσπίπτω καὶ βοῶ σοι, διέγειρόν με σῶσον, τῷ Υἱῷ σου κραυγάζοντα· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητός εἶ.

ᾨδὴ Η΄. Τὸν Βασιλέα.

Τοὺς σοὺς οἰκέτας, ὦ Γεώργιε Μάκαρ, ἐκ κινδύνων θλίψεων καὶ νόσων, σαῖς πρὸς τὸν Σωτῆρα ἀπάλλαξον πρεσβείαις.

Στήριξον πάντας, ὦ Γεώργιε Μάρτυς, ἐν τῇ πίστει καὶ θείᾳ ἀγάπῃ, καὶ ῥῦσαι εὐχαῖς σου κακίας τοῦ Βελίαρ.

Τῇ ὑπερμάχῳ ἀντιλήψει σου, Μάρτυς, καταφεύγοντες αἰτούμεθα νόσων καὶ δεινῶν εὐχαῖς σου, ταχέως λυτρωθῆναι.

Θεοτοκίον.

Ἴασαι, Κόρη, ταῖς πρὸς τὸν Κτίστην λιταῖς σου, τηκομένους νόσοις τοὺς σοὺς δούλους, καὶ δεινῶν παντοίων ἀπάλλαξον ταχέως.

ᾨδὴ Θ΄. Κυρίως Θεοτόκον.

Νοσούντων καὶ πλεόντων, καὶ τῶν ἐν κινδύνοις, πρὸς σωτηρίαν κατέστης ὑπέρμαχος, τῶν Ἀθλητῶν ἡ ἀκρότης, Μάρτυς Γεώργιε.

Συνήφθης ταῖς χορείαις πάντων τῶν Μαρτύρων, σὺν οἷς δυσώπει Θεὸν, ὦ Γεώργιε, ἀπαλλαγῆναι κινδύνων δεινῶν τοὺς δούλους σου.

Ὡς φύλαξ Ὀρθοδόξων καὶ τῆς εὐσεβείας, καὶ τῶν Μαρτύρων



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



τὸ κλέος, Γεώργιε, ὑπὲρ ἡμῶν τὸν Σωτῆρα θερμῶς ἱκέτευε.
Θεοτοκίον.

Μαρία, ἐκτακεῖσαν τὴν οἰκτρὰν ψυχήν μου, τῆς ἁμαρτίας φλογμῷ, καταδρόσισον, τοῦ σοῦ ἐλέους ῥανίσι, καὶ σῶσον Πάναγνε.

Το, Ἄξιόν ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Κατεύνασον τὸν τάραχον, Ἀθλητὰ, παθῶν καὶ κινδύνων, καὶ δαιμόνων τὰς προσβολὰς, ἀπέλασον πάσας, ἀπὸ τῶν σὲ ὑμνούντων, ὡς Μάρτυρα Κυρίου, θεῖε Γεώργιε.

Πόθῳ ἑορτάσωμεν ἀδελφοὶ, τὴν φωσφόρον Μνήμην, Γεωργίου τοῦ Ἀθλητοῦ, καὶ στέψωμεν τοῦτον τοῦ ἔαρος τοῖς ἴοις, ἵνα ἀξιωθῶμεν τῆς θείας χάριτος.

Ἀνάκτων ὑπέρμαχον καὶ πτωχῶν, πλεόντων σωτῆρα, ἀσθενούντων τε ἰατρὸν, αἰχμαλώτων ῥύστην, καὶ ὀρφανῶν προστάτην, κεκτήμεθά σε πάντες, Μάρτυς Γεώργιε.

Λῦσον, ὦ Γεώργιε Ἀθλητὰ, νέφος ἁμαρτίας, καὶ τὰς νόσους τὰς φοβερὰς, δίωξον ἐν τάχει, ἀπὸ τῶν προσκυνούντων τὴν θείαν σου Εἰκόνα, καὶ ἀνυμνούντων σε.

Καὶ Θεοτοκίον. Ψάλλομεν προθύμως σοι τὴν ᾠδήν.

Τρισάγιον. εἶτα τὸ Τροπάριον Ἦχος Δ'.

Ὡς τῶν αἰχμαλώτων ὁ ἐλευθερωτὴς καὶ τῶν πτωχῶν ὑπερασπιστής. . . κτλ. (Ζήτει Ἀπριλίου 23).

Εἶτα ἐκτενὴς, καὶ ἀπόλυσις· καθ' ἣν ψάλλομεν τὸ παρὸν Προσόμοιον. Ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν...

Πάντας τοὺς τελοῦντάς σου πιστῶς τὴν ἀξιοθαύμαστον Μνήμην, Μάρτυς Γεώργιε, πάσης περιστάσεως ῥῦσαι πρεσβείαις σου, νοσημάτων καὶ θλίψεων, παθῶν καὶ κινδύνων, σὲ καθικετεύομεν, καὶ τῶν βελῶν τοῦ ἐχθροῦ· ὅπως σε φαιδρῶς ἀνυμνῶμεν, ὡς κοινὸν ἡμῶν εὐεργέτην, καὶ τῶν Ἀθλοφόρων ἐγκαλλώπισμα.

ΤΕΛΟΣ.



# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΝΕΟΜΑΡΤΥΡΑ ΣΩΦΡΟΝΕΣΤΑΤΗΝ

# ΑΡΓΥΡΗΝ·

Ἧς τὸ ἱερὸν λείψανον κεῖται εἰς Χάσκιοϊ ἐν τῷ Ναῷ τῆς Ἁγίας ΠΑΡΑΣΚΕΥΗΣ.

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν. τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος· καὶ τὸ Τροπάριον Ἦχος Δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΤΗΝ σωφροσύνῃ ἐκ Θεοῦ κοσμηθεῖσαν, καὶ ὑπομείνασαν βασάνους ἀπείρους, καὶ μεταστᾶσαν ἀπὸ γῆς πρὸς ἄληκτον ζωὴν, πάντες ἀνυμνήσωμεν πρὸς αὐτὴν ἐκβοῶντες, Ἀργυρὴ Πανθαύμαστε, ἱκεσίαις σου θείαις, νόσων κινδύνων ῥῦσαι καὶ φθορᾶς τοὺς προσκυνοῦντας πιστῶς τὰ σὰ Λείψανα.

Δόξα. καὶ Νῦν Θεοτοκίον. Τῇ Θεοτόκῳ. . . .

Ὁ Ν'. καὶ ὁ κανών. Ἦχος πλ. Δ'. ἔχων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις ΣΕΡΑΦΕΙΜ.

ᾨδὴ Α'. Ἦχος Πλ. Δ'. Ὑγρὰν διοδεύσας.

Νεκρᾷ τῇ ψυχῇ μου οὔσῃ, Σεμνὴ Ἀργυρὴ, λιταῖς σου, ζωὴν δώρησαι· καὶ χαρᾶς μέτοχον γενέσθαι αἰωνίου, τὸν σὸν οἰκέτην ἀξίωσον Πάνσεπτε.

Ἰσχύϊ ῥωσθεῖσα τοῦ ἰσχυροῦ Θεοῦ, τὸν ἐχθρόν σου σὺ κατέστρεψας, Ἀργυρή· κἀμὲ οὖν ἐνίσχυσον, εὐχαῖς σου, καταβαλεῖν ἐχθρὸν τὸν παμπόνηρον.

Ὑπέμεινας, Μάρτυς, τοὺς αἰκισμοὺς καὶ δεινὰς βασάνους δι' ἀγάπην τοῦ Ποιητοῦ· κἀμὲ οὖν εὐχαῖς σου διαμεῖναι ἐν τῇ ἀγάπῃ τοῦ Κτίστου ἀξίωσον.
Θεοτοκίον.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεὸν, δυσωπῶ, Παρθένε, τῆς ἰλύος

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



με τῶν παθῶν, καθάρισον τάχος· σὺ γὰρ μόνη τὸ καθαρὸν εἶ ἁγνείας κειμήλιον.

ᾠδὴ Γ'. Οὐρανίας ἁψῖδος.

Θαυμαστῇ καρτερίᾳ τὸν τυραννοῦντά σε ᾔσχυνας, Ἀργυρῆ θεόφρον, Πίστει τῇ θείᾳ ὄντως ὑπείκουσα· ὅθεν βοῶμέν σοι, ἡμᾶς πυρὸς αἰωνίου καὶ αἰσχίςων πράξεων λιταῖς σου λύτρωσαι.

Σὴν ἀντίληψιν, Μάρτυς, καὶ προσασίαν τὴν ἄμαχον, ἐκζητῶν θερμῶς ὁ ταπεινὸς ἀνακράζω σοι· ῥῦσαι πρεσβείαις σου τῆς ἐνεστώσης ἀνάγκης, καὶ παθῶν καὶ θλίψεών με ἐξάρπασον.

Ἀργυρῆ τὰς βασάνους, διὰ τὸν Πλάστην ὑπήνεγκας, καὶ πολυχρονίως τὸ δεινὸν δεσμωτήριον. Ὅθεν δυσώπησον κἀμὲ βασάνων Γεέννης, καὶ πυρὸς ῥυσθῆναί με τῆς κολάσεως.

Θεοτοκίον.

Εὐσπλαγχνίας, Παρθένε, πρὸς Οὐρανοὺς φέρουσα, πύλη σὺ ὑπάρχεις, τοὺς σὲ πιστῶς δοξάζοντας· ἄνοιξον δέομαι τῆς μετανοίας μοι πύλας καὶ πρὸς τὴν Οὐράνιον Νύσσαν ὁδήγησον.

ᾠδὴ Δ'. Εἰσακήκοα Κύριε. . .

Κυβερνήτειρα, Πάνσεμνε Ἀργυρῆ, γενοῦ τῷ οἰκέτῃ σου, καὶ πρὸς ὅρμον τὸν σωτήριον τὴν ψυχήν μου ἴθυνον ταῖς πρεσβείαις σου.

Καταξίωσον πράττειν με, Ἀργυρῆ, ἀκόπως τὰ ἔνθεα τοῦ Σωτῆρός μου βουλήματα, ἵνα σὲ γεραίρω ὡς προστάτιδα.

Τὴν πεινῶσαν καρδίαν μου, ἔργοις ἐναρέτοις, Πανεύφημε, τὸν Σωτῆρα καθικέτευε, θείοις διαθρέψασθαι χαρίσμασι.

Θεοτοκίον.

Ῥῦσαι μόνη Πανάχραντε, πάσης ἁμαρτίας καὶ περιστάσεως τὸν ὑμνοῦντά σε, καὶ λύτρωσαι τῆς ἀναμενούσης με κολάσεως.

ᾠδὴ Ε'. Φώτισον ἡμᾶς. . .

Σῶσόν με, Σεμνή, καὶ ψυχήν μου ταῖς πρεσβείαις σου, θείαις



ἐπομβρίαις, τὴν ἐν πυρὶ τῶν ἡδονῶν τακεῖσαν ὅλως, κατάρδευσον.

Νόσων τε δεινῶν καὶ παντοίων περιστάσεων, πάντας τοὺς σοὺς δούλους ἀπάλλαξον, ταῖς πρὸς Θεὸν ὦ Ἀργυρῆ ἱκεσίαις σου.

Δέομαι θερμῶς, Ἀργυρῆ Θεομακάριςε, ἄναψον σεπτὸν πόθον τῇ ψυχῇ μου, πάθη τὰ ὑλώδη μου καταφλέγοντα.

Θεοτοκίον.

Ἄχραντε, Θεὸς, ὥςπερ ὄμβρος καταβέβηκεν ἐπὶ σὲ καὶ κατεσκήνωσε· τοῦτον δυσώπει κατανύξει ἐπομβρίσαι με.

ᾠδὴ ΣΤ'. Ἱλάσθητί μοι Σωτήρ.

Σὺ Μάρτυς τὸν δυσμενῆ ἐχθρὸν μολῦναί σε θέλοντα, κατήσχυνας τῇ Θεοῦ δυνάμει· τὸν δοῦλόν σου οὕτω καταξίωσον, ῥυσθῆναι λιταῖς σου, καταισχύνης καὶ κολάσεως.

Ἁγνείας ζῶσα εἰκὼν, ὦ Ἀργυρῆ, ὄντως πέλουσα, ἁγνεύειν τὸν σὸν οἰκτρὸν οἰκέτην ἀξίωσον, καὶ κακίας πάσης νῦν τὰς πικρὰς ἐφόδους ὑπεκφεύγειν ταῖς πρεσβείαις σου.

Διέτριψας, ἐν πολλοῖς εἰς δεσμωτήριον ἔτεσι, νομίζουσα κατοικεῖν ἀνάκτορον ἔνδοξον· διὸ ἱκετεύω σε, τοῦ δεσμωτηρίου τῶν παθῶν με ἐλευθέρωσον.

Θεοτοκίον.

Φιλάγαθε Μαριὰμ, τὸν σὸν οἰκέτην ἀπάλλαξον, αἰωνιζούσης φλογὸς, καὶ τυχεῖν ἀξίωσον, μητρικαῖς πρεσβείαις σου, νῦν τῆς σωτηρίας, καὶ ῥυσθῆναι τῆς κολάσεως.

Διάσωζε, ὦ Ἀργυρῆ, ταῖς θερμαῖς λιταῖς σου ἀπὸ κινδύνων καὶ νόσων καὶ θλίψεων, τοὺς προστρέχοντας τῷ Πανσέπτῳ σου Σκήνει.

Καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β'.

Ἡ ἔνδοξος Μνήμη σου, Μάρτυς Πανένδοξε, ἀνέτειλε σήμερον ἡλίου τηλαυγέστερον, φωτὶ ἐνθέων δωρεῶν ἡμᾶς καταυγά-

www.tezaurliturgic.ro



ζουσα, καὶ ζόφον νόσων καὶ ποικίλων παθῶν ἀποδιώκουσα. Ταύτην οὖν ἐν πίστει γεραίροντες, ῥῦσαι, Ἀργυρῆ, δεινῶν παντοίων καὶ σῶσον ἡμᾶς, ταῖς θείαις σου πρεσβείαις δεόμεθα.

Καὶ εὐθὺς τὸ Προκείμενον. ἦχος, δ'.

Ὑπομένων ὑπέμεινα τὸν κύριον καὶ προσέσχε μοι.

Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοί. . . . κτλ. (Ζήτει Νοεμβρίου 6).

Δόξα. Ταῖς τῆς Ἀθληφόρου. . . Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχος. Ἐλέησόν με ὁ Θεός, καὶ τὸ Τροπάριον Ἦχος Πλ. β'.

Οὐδεὶς κακουχούμενος καταφεύγων ἐπὶ σοί, ἀπηλπισμένος ἀπὸ σοῦ ἐκπορεύεται, Ἀργυρῆ Κυρίου Μάρτυς· ἀλλ' αἰτῶν τὴν σὴν χάριν λαμβάνει τὸ δώρημα, παρὰ Θεοῦ ταῖς σαῖς ἐντεύξεσι.

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου, κτλ.

ᾨδὴ Ζ'. Παῖδες Ἑβραίων.

Δόξῃ Θεοῦ κατηξιώθης ἐντρυφᾶν, Ἀργυρῆ, καὶ αἰωνίως χαίρειν· τούτου δέου κἀμὲ ἰδεῖν καταξιῶσαι αὐτοῦ τὸ θεῖον πρόσωπον, ἐν ψυχῇ ἀκαταγνώστῳ.

Ἔμεινας ὥσπερ ἐν τῷ Κόσμῳ, ἀδιάφθορος τοῦ πονηροῦ τῶν δόλων· οὕτω νῦν τὸν Θεὸν ἱκέτευε, ὦ Μάρτυς, φλογὸς τοῦ αἰωνίζοντος ἀπαλλάξαι τοὺς σοὺς δούλους.

Τρίβον ὁδεύων τῆς ἀπάτης, ἄχθος γέγονα ἐτώσιον ἀρούρης· ἀλλὰ σύ, Ἀργυρῆ, πρεσβείαις σου ἐνθέρμοις, ὁδήγησον τὸν δοῦλόν σου, εἰς ὁδὸν τῆς ἀληθείας Θεοτοκίον.

Εὔχου ὑπὲρ τοῦ σοῦ οἰκέτου, ὦ Παρθένε καὶ σῶσον ἐκ κινδύνων, καὶ παντοίων δεινῶν, ἐξάρπασον καὶ νόσων, ἵνα τὴν σὴν σωζόμενος, μεγαλύνω προστασίαν.

ᾨδὴ Η'. Τὸν Βασιλέα.

Ῥῦσαι λιταῖς σου, ὦ Ἀργυρῆ, τὸν σὸν δοῦλον ὑλωδῶν πα-



θῶν καὶ πάσης νόσου, καὶ αἰσχύνης ἔργων ταχέως λύτρωσαί με.

Θεὸν τῶν ὅλων, ὦ Ἀργυρῆ, ἐκδυσώπει, τῶν ἐν γῇ κακῶν με ἀπαλλάξαι, καὶ τῆς ἄνω δόξης σὸν δοῦλον ἀξιῶσαι.

Νόσοις παντοίαις ἐγκυλινδούμενος, Μάρτυς, καταφεύγω πρὸς σὲ καὶ βοῶ σοι· σῶσον τὸν σὸν δοῦλον, ὦ Ἀργυρῆ, εὐχαῖς σου. Θεοτοκίον.

Ἵλεων, Κόρη, ἐν ἡμέρᾳ τῆς δίκης, τὸν Σωτῆρά μοι ἀπέργασαι, καὶ ῥῦσαι τῆς φρικτῆς ἐκείνης, Παρθένε, καταδίκης.

ᾨδὴ Θ'. Κυρίως Θεοτόκον. . .

Σκανδάλων τῶν ἐν βίῳ, λύτρωσαι, ὦ Μάρτυς, τὸν σὸν οἰκέτην, ταῖς θείαις πρεσβείαις σου, καὶ πάσης νόσου καὶ βλάβης με νῦν ἀπάλλαξον.

Ῥοῇ τῶν σῶν αἱμάτων ξήρανον, ὦ Μάρτυς, τὰς χαλεπὰς ἁμαρτίας μου δέομαι, καὶ τῶν παθῶν μου τὴν ζάλην σὺ κατάπραϋνον.

Πλουτοῦντες τὸ σὸν Σκῆνος, Ἀργυρῆ, ἐν πίστει κατασπαζόμεθα σὲ ἱκετεύοντες· μνήσθητι, Μάρτυς, ἡμῶν τῶν πόθῳ ὑμνούντων σε. Θεοτοκίον.

Μαρία Θεοτόκε, τῆς ψυχῆς τὰ πάθη τῆς ταλαιπώρου μου νέκρωσον, ἡ κυήσασα τὸν χορηγὸν τῆς ζωῆς, Θεὸν τὸν φιλάνθρωπον.

Τό, Ἄξιόν ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Δεῦτε εὐφημήσωμεν οἱ Πιστοί, Ἀργυρῆς τῆς θείας τὴν σεβάσμιον Τελευτήν· γῆθεν γὰρ ἀρθεῖσα, πρὸς Οὐράνιον λῆξιν μετέβη, τοῦ σωθῆναι ἡμᾶς πρεσβεύουσα.

Δεῦτε τὴν Πανεύφημον Ἀργυρῆν, φίλαθλοι τιμῶντες, ἱκετεύσωμεν εὐθαρσῶς, ὅπως λιταῖς ἐνθέρμοις αὐτῆς παντὸς κινδύνου, καὶ νόσων ἀνιάτων ἀπαλλαχθῶμεν ταχύ.

Καὶ τό, Πᾶσαι τῶν Ἀγγέλων.

Τρισάγιον, καὶ τὸ Τροπάριον Ἦχος Α'.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΚΤΗΤΟΡΟΣ ... ΝΤΟΡΗΣ ΠΑ...

www.tezaurliturgic.ro



Εν ταῖς βασάνοις τὸ θῆλυ γένος ἄμωμον ἐτήρησας καὶ τῇ πολυχρονίῳ καθείρξει ἀπίστους ἐξέπληξας, Ἀργυρῆ, φυλάξασα τὴν ἐν γάμῳ παρθενίαν, καὶ τὴν Πίστιν γενναίως ἀκήρατον· διὸ λιταῖς σου εὐπροσδέκτοις. τὴν τῶν ἀπίστων ὀφρὺν κατάβαλε, καὶ τοὺς τιμῶντας τὰ σὰ Λείψανα, κινδύνων καὶ νόσων ἀπάλλαξον.

Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύει.

Εἰς τὴν Ἀπόλυσιν ψάλλομεν τὸ παρὸν Προσόμοιον, Ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Πόθῳ προσκυνοῦντες οἱ Πιστοί, Ἀργυρῆς τῆς θείας, Σκήνος τὸ πάντιμον σήμερον, δοξάσωμεν τὸν Πανοικτίρμονα Ἰησοῦν τὸν Φιλάνθρωπον, τὸν αὐτὴν δεόντως οὐρανίῳ στέμματι καταστεψάμενον, πίστει πρὸς αὐτὸν ἐκβοῶντες· ταῖς τῆς Ἀθληφόρου πρεσβείαις, καὶ τῆς σῆς Μητρὸς ἡμᾶς ἐλέησον.

ΤΕΛΟΣ.

# ΕΤΕΡΟΣ

## ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΑ
## ΕΙΡΗΝΗΝ·
### ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ'.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ. . .

Ὡς τῆς εἰρήνης τῆς ἐνθέου ἐπώνυμος, τὸν Εἰρηνάρχην καὶ Θεὸν ἐκδυσώπησον, Εἰρήνη εἰρηνώνυμε, δωρήσασθαι ἡμῖν τοῖς πίστει ἀνυμνοῦσί σε τὴν εἰρήνην, καὶ παῦσαι ἀνοήτους ἔριδας, καὶ Σατὰν διαλῦσαι τὰς πολυπλόκους πλεκτάνας, ἵνα σε ἀεὶ ὡς Ἀθληφόρον, Εἰρήνη γεραίρομεν.



Δόξα· Καὶ νῦν Θεοτοκίον. Οὐ σιωπήσομεν. . .

Ὁ Ν'. Καὶ ὁ Κανὼν Ἦχος Πλ. Δ'. οὗ ἡ Ἀκροστιχίς.

« Σαῖς λιταῖς ἡμᾶς Εἰρηνώνυμε, ἀεὶ σκέπε. »

ᾨδὴ Α'. Ὑγρὰν διοδεύσας.

Στεφάνῳ κοσμηθεῖσα μαρτυρικῷ, καὶ ἐνηδομένη σὺν Παρθένοις ἐν Οὐρανῷ, δώρησαι εἰρήνην ταῖς λιταῖς σου, τοῖς σὲ ὑμνοῦσι, καὶ δόξαν ἀμάραντον.

Ἀξίως τὸ στέφος χειρὶ Θεοῦ ἐδέξω, Εἰρήνη, καὶ τῷ θρόνῳ αὐτοῦ ἀεὶ παρίστασαι· εἰρήνην δυσωποῦσα διηνεκῆ ἡμῖν πᾶσι δωρήσασθαι.

Ἱλάσθητι, Εἰρήνη, τοῖς ταπεινοῖς, καὶ τὸν σὸν Νυμφίον ἐκδυσώπησον καὶ Θεὸν, εἰρήνην δωρήσασθαι τὴν θείαν ταῖς Ἐκκλησίαις καὶ τὴν ὁμόνοιαν. Θεοτοκίον.

Συνέτισον τὸν δοῦλόν σου, Μαριὰμ, καὶ δός μοι εἰρήνην, ἱκεσίαις σου ἱεραῖς, καὶ δαιμόνων ῥῦσαί με ἀπάτης, τὸν Εἰρηνάρχην Θεὸν ἡ γεννήσασα.

ᾨδὴ Γ'. Σὺ εἶ τὸ στερέωμα.

Ἡμῖν τοῖς γεραίρουσι τὰ ὑπὲρ λόγον σου σκάμματα, καὶ τοὺς σεπτοὺς, Εἰρήνη, ἀγῶνας, δὸς λιταῖς σου ὁμόνοιαν.

Μεγάλα τὰ ἆθλά σου, Μεγαλομάρτυς Εἰρήνη Πάνσοφε· ῥῦσαι διὸ λιταῖς σου ἐρίδων καὶ δεινῶν τοὺς οἰκέτας σου.

Ἀνδρείας Πανθαύμαστε, καὶ σωφροσύνης ὤφθης ὑπόδειγμα· ὅθεν κἀμὲ σωφρονεῖν λιταῖς σου, ὦ Εἰρήνη, ἀξίωσον. Θεοτοκίον.

Σὺ εἶ Παναμώμητε, τῶν Ὀρθοδόξων τὸ καύχημα, σὺ εἶ Ἁγνὴ, ὄνομα καὶ πρᾶγμα τὸ γλυκὺ καὶ θαυμάσιον.

ᾨδὴ Δ'. Εἰσακήκοα Κύριε. . .

Λαμπρυνθεῖσα ἐλλάμψεσι Πνεύματος τοῦ θείου, ὦ Εἰρηνώνυμε, τὴν καρδίαν μου καταύγασον αἴγλῃ Οὐρανίᾳ ἱκεσίαις σου.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ...

www.tezaurliturgic.ro



Ἰσχυρόν με ἀπέργασαι κατὰ τῶν δαιμόνων, Εἰρήνη Ἔνδοξε, καταστρέφειν μηχανήματα καὶ αὐτῶν τοὺς δόλους ταῖς πρεσβείαις σου.

Ταῖς φωσφόροις ἐλλάμψεσιν, ὧν νῦν ἀπολαύεις, Εἰρήνη Πάνσεμνε, ἀπολαῦσαι ταῖς πρεσβείαις σου, πάντας τοὺς τιμῶντάς σε ἀξίωσον. Θεοτοκίον.

Ἀπειρόγαμε Δέσποινα, πάντας τοὺς πιςῶς Θεοτόκον σε, Ἀει πάρθενον γνωρίζοντας, τῶν πλημμελημάτων δὸς τὴν ἄφεσιν.

## ᾠδὴ Ε'. Φώτισον ἡμᾶς.

Ἴσχυσας ἐχθρῶν καταλῦσαι τὰ φρυάγματα· διὸ καὶ τὸν οἰκέτην σου κατ᾽ἐχθρῶν, Εἰρήνη Μάρτυς, τροπαιοῦχον σὺ ἀνάδειξον.

Σῶσον τοὺς εἰς σὲ, Εἰρηνώνυμε, προσφεύγοντας, καὶ τῶν τεχνασμάτων τοῦ πονηροῦ, ταῖς ἱκεσίαις σου ταχέως ἐλευθέρωσον.

Εἰρήνης τῆς σεπτῆς σὺ ὑπάρχουσα ἐπώνυμος, πάντας εἰρηνεύειν δούλους τοὺς σοὺς, Εἰρήνη Μάρτυς, ταῖς πρεσβείαις σου ἀξίωσον. Θεοτοκίον.

Ἵλεων, Ἁγνὴ, τὸν σὸν Τόκον, καθικέτευσον, γενέσθαι μοι ἐν Κρίσει τῷ ταπεινῷ, καὶ τῆς μερίδος τῶν δικαίων ἀξιῶσαί με.

## ᾠδὴ ΣΤ'. Ἱλάσθητί μοι.

Ῥωσθεῖσα τοῦ Παντουργοῦ, σθένει, Εἰρήνη Θεόσοφε, Τυράννων τὰς ἀπειλὰς, σοφῶς κατεφρόνησας· κἀμὲ οὖν ἀξίωσον, Σατὰν διαλῦσαι τὰ τεχνάσματα, πρεσβείαις σου.

Ἠράσθης τῆς ὑπὲρ νοῦν φωτοχυσίας, Πανεύφημε, καὶ πάντων τῶν ἐπὶ γῆς ἀγαθῶν ἠλόγησας· κἀμὲ οὖν ἀξίωσον θείαις φωταυγίαις ἐλλαμφθῆναι, ἱκεσίαις σου.

Νῦν ταῖς Παρθένοις, Σεμνὴ, ἀγαλλομένη εἰς ἄλληκτον τῆς Βασιλείας Χριστοῦ βίον, Εἰρηνώνυμε, μὴ παύσῃ πρεσβεύουσα, ὑπὲρ ὁμονοίας καὶ Εἰρήνης τῶν ὑμνούντων σε. Θεοτοκίον.



Ὡς μόνη εὐσυμπαθὴς τὸν ἀσυμπάθητον δοῦλόν σου, οἰκτείρησον δωρεὰν, Παρθένε Πανάμωμε, τὸν ἀμέτρως πταίσαντα, καὶ ἐν ῥαθυμίᾳ βίον ὅλον δαπανήσαντα.

Διάσωσον ἀπὸ παντοίων ἐρίδων καὶ ἐπηρείας δαιμόνων τοὺς ἀνυμνοῦντάς σε, Εἰρήνη Πανεύφημε, ταῖς θείαις πρὸς τὸν Εἰρηνάρχην εὐχαῖς σου.

Καὶ Θεοτοκίον Ἄχραντε..

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β'.

Εἰρήνης σεπτῆς, Εἰρήνη ἐπώνυμε, θαυμάτων πηγὴ καὶ Ἀθληφόρων εὔκλεια, ἐκτενῶς βοῶμέν σοι, ταχέως Εἰρηνώνυμε πρόφθασον, καὶ ἐξ ἐρίδων λύτρωσαι ἡμᾶς, εἰρήνην διηνεκῆ ἡμῖν δωρουμένη καὶ ὁμόνοιαν, ταῖς πρὸς τὸν Εἰρηνάρχην θερμαῖς ἱκεσίαις σου.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δ'.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ· ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολύς· . . κτλ (Ζήτει τῇ Β'. τῆς ιε'. Ἑβδομάδος).

Δόξα. Ταῖς τῆς Ἀθληφόρου. . . Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. . . Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον

## Ἦχος Πλ. β'. Ὅλην ἀποθέμενοι...

Εἰρήνη Καλλιπάρθενε, τῶν Ἀθληφόρων τὸ κλέος, εἰρήνης ἐπώνυμε, δέξαι τὰς δεήσεις καὶ ἱκεσίας μου, εὐμενῶς ταύτας δὲ πρὸς τὸν Εἰρηνάρχην προσκομίζουσα δεήθητι τοῦ παρασχεῖν ἡμῖν εἰρήνην, Παρθένε, τὴν ἔνθεον, καὶ πάσας ἀπελάσαι νῦν δεινὰς προσβολὰς τοῦ ἀλάστορος· ὅπως εὐχαρίστως τοὺς ἄθλους σου γεραίρωμεν ἀεὶ, ὑπὲρ Χριστοῦ οὓς ὑπέμεινας καὶ τὰ κατορθώματα.

## ᾠδὴ Ζ'. Παῖδες Ἑβραίων...

www.tezaurliturgic.ro



Νῦν καθορῶσα, ὦ Εἰρήνη, πρόσωπον πρὸς πρόσωπον τῶν ἀγαθῶν τὸ ἄκρον, ταῖς θερμαῖς σου λιταῖς ἀγάθυνον τὸν βίον, τῶν ἀνυμνούντων πίστει σε, καὶ παράσχου τὴν εἰρήνην.

Ὕμνοις τιμῶντες τὴν σὴν Μνήμην, Εἰρηνώνυμε Εἰρήνη, οἱ σοὶ δοῦλοι, ταπεινῶς καὶ θερμῶς δεόμεθα ῥυσθῆναι, πυρὸς τοῦ αἰωνίζοντος, ταῖς ἁγίαις σου πρεσβείαις.

Μάρτυς Εἰρήνη, καὶ Εἰρήνης τῆς ἐνθέου ἐπώνυμε, σοῖς δούλοις, τὸν εἰρήνης Θεὸν ἱκέτευε, εἰρήνην, διηνεκῆ δωρήσασθαι· ἵνα πόθῳ σε ὑμνῶμεν. Θεοτοκίον.

Εὕροιμί σε ταχὺ ἐξαιρουμένην, ὦ Παρθένε τῆς Κρίσεως ἐν ὥρᾳ, καταδίκης πικρᾶς τὸν σὸν οἰκτρὸν οἰκέτην, τὸν Τόκον σου τὸν ἄῤῥητον εὐσεβῶς ὑπερυμνοῦντα.

## ᾠδὴ Η'. Τὸν Βασιλέα. . .

Ἀγάπῃ θείᾳ, Εἰρηνώνυμε Μάρτυς, τοὺς σοὺς δούλους κοσμῆσαι ἐκδυσώπει, τὸν Θεὸν εἰρήνης, ἵνα σε μακαρίζω.

Εἰρήνη Μάρτυς, τὸν Εἰρηνάρχην δυσώπει, εἰρηνεῦσαι τὰς Ἐκκλησίας πάσας, καὶ τὰς διεστώσας ἑνῶσαι σαῖς πρεσβείαις.

Ἵνα Εἰρήνη ἀδιαλείπτως ὑμνῶ σε, τὴν εἰρήνην παράσχου τῷ σῷ δούλῳ, ταῖς πρὸς τὸν Δεσπότην ἁγίαις σου πρεσβείαις. Θεοτοκίον.

Σκέπη γενοῦ μοι καὶ καταφύγιον, Κόρη, τῷ ἐν πίστει προστρέχοντί σοι δούλῳ, καὶ τῆς τρικυμίας διάσωσον τοῦ βίου.

## ᾠδὴ Θ'. Κυρίως Θεοτόκον. . .

Κύκλῳ τοῦ Νυμφίου χορεύουσα, Εἰρήνη, τοῦ Οὐρανίου σου, πίςει τοῖς Μνήμην σου τὴν φωτοφόρον τελοῦσιν, εἰρήνην αἴτησαι.

Ἐν θαύμασιν ἀπείροις, Εἰρήνη θεόφρον, ὁ Εἰρηνάρχης Θεὸς σε ἐδόξασε· τοῦτον θερμῶς ἐκδυσώπει ὑπὲρ τῶν δούλων σου.

Παράσχου τὴν εἰρήνην, Εἰρήνη θεόφρον, ταῖς ἱεραῖς σου πρεσβείαις δεόμεθα, τοῖς εὐσεβῶς ἀνυμνοῦσι τὴν θείαν Μνήμην σου. Θεοτοκίον.



Ἔχουσα, Παρθένε, πολλὴν παῤῥησίαν πρὸς τὸν Υἱόν σου, δυσώπει δωρήσασθαι, ταῖς Ἐκκλησίαις εἰρήνην τε καὶ ὁμόνοιαν

Τό, Ἄξιόν ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Δέησιν προσάγαγε τῷ Θεῷ, Εἰρήνη θεόφρον, παρασχεῖν τοῖς ἁμαρτωλοῖς, ἄφεσιν πταισμάτων καὶ δεινῶν σωτηρίαν, τοῖς πίστει θερμοτάτῃ σοὶ καταφεύγουσι.

Διηνεκῆ Εἰρήνην παράσχου νῦν, πρὸς τὸν Εἰρηνάρχην θερμοτάταις σου ταῖς λιταῖς, Εἰρήνη, εἰρήνης τῆς ἀληθοῦς καὶ θείας ἐπώνυμε, καὶ Μάρτυς τοῦ Παντοκράτορος.

καὶ Θεοτοκίον **Πᾶσαι τῶν Ἀγγέλων.**

Τὸ Τρισάγιον. Καὶ τὸ Ἀπολυτίκιον Ἦχος Δ'.

Κρουνοῖς τῶν αἱμάτων σου τὴν Ἐκκλησίαν Χριστοῦ, πηγὴ ὡς ἀκένωτος, πᾶσαν κατήρδευσας, Εἰρήνη Εἰρηνώνυμε· ἔσωσας ἐν τῷ Κόσμῳ, τῶν θαυμάτων σου αἴγλῃ, εἰδωλικῆς μανίας μυριάδας ἀνθρώπων· διὸ ἐν παῤῥησίᾳ Χριςῷ τῷ Νυμφίῳ σου, πρέσβευε εἰρήνην ἡμῖν δωρήσασθαι.

Ὁ Ἱερεὺς μνημονεύει.

Ἐν τῇ ἀπολύσει ψάλλομεν τὸ παρὸν Ἦχος Β'.

**Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.**

Δεῦτε φιλοπάρθενοι πιστῶς, δεῦτε ἐν ᾠδαῖς ἀσιγήτοις δοξολογήσωμεν τὴν Παρθενομάρτυρα, Εἰρήνην τὴν εὐκλεῆ, πρὸς αὐτὴν ἀνακράζοντες, ῥῦσαι ταῖς λιταῖς σου Εἰρήνη Εἰρηνώνυμε, τοὺς σοὶ προστρέχοντας, πάσης προσβολῆς τοῦ Βελίαρ, καὶ τὸν Εἰρηνάρχην δυσώπει, δοῦναι τὴν Εἰρήνην τοῖς ὑμνοῦσί σε.

ΤΕΛΟΣ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

www.tezaurliturgic.ro



# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

## ΘΕΡΑΠΟΝΤΑ.

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ΄.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ. . .

Τῇ ἱερᾷ καὶ ζωῤῥύτῳ Πηγῇ σου, πεπλουτισμένη ποικιλίᾳ θαυμάτων, πάντες Πιστοὶ προστρέχοντες πιστῶς καὶ εὐλαβῶς, πλοῦτον ἀρυόμεθα ἐξαισίων θαυμάτων, καὶ φαιδρῶς γεραίρομεν τοὺς σεπτούς σου ἀγῶνας, οὕς περ ὑπήνεγκας ὑπὲρ Χριστοῦ, μεγαλομάρτυς Θεράπων θαυμάσιε.

Δόξα. καὶ νῦν. Θεοτοκίον Οὐ σιωπήσομεν. . .

Ὁ Ν΄. καὶ ὁ κανών. Ἦχος πλ. Δ΄. ἔχων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις ΣΕΡΑΦΕΙΜ.

ᾠδὴ Α΄. Ἦχος Πλ. Δ΄. Ὑγρὰν διοδεύσας.

Ταῖς θερμαῖς πρεσβείαις σου, Ἀθλητὰ Ἅγιε Θεράπων, δὸς τῷ δούλῳ σου ἐκ τῶν σῶν, χαρίτων ψεκάδας ὅπως ᾄσω, τοὺς ὑπὲρ λόγον καὶ ἔννοιαν ἄθλους σου.

Πολλὴν παῤῥησίαν πρὸς τὸν Θεὸν ἔχων, ὦ Θεράπον, τοὺς προσρέχοντας εὐλαβῶς τῇ σεπτῇ Πηγῇ σου, Ἀθλοφόρε, ἐκ τῶν παθῶν ταῖς εὐχαῖς σου διάσωσον.

Ῥῦσαι σαῖς δεήσεσιν, Ἀθλητὰ, Ἔνδοξε Θεράπων τοὺς Πηγῇ σου τῇ Ἱερᾷ, προσιόντας πόθῳ τε καὶ πίςει, ἐξ ἀνιάτων παθῶν ταῖς πρεσβείαις σου.

Θεοτοκίον.

Συνέτισον τὸν δοῦλόν σου, Μαριὰμ, ἄνοιξόν μοι πύλας μετανοίας, καὶ ἐκ πυλῶν τῆς θανατηφόρου ἁμαρτίας, τῇ μεσιτείᾳ σου ῥῦσαί με, Δέσποινα.



ᾠδὴ Γ΄. Σὺ εἶ τὸ στερέωμα.

Φάνηθι τοῖς δούλοις σου, Μάρτυς Θεράπων, προστάτης ἔνθεος, καὶ τῶν κακῶν σώζων σαῖς πρεσβείαις, ἀβλαβεῖς ἡμᾶς τήρησον.

Ὅπως ἀπολαύσωμεν παθῶν καὶ νόσων τὴν ἀπολύτρωσιν, τῇ σῇ Πηγῇ προστρέχομεν πίστει, ὦ Θεράπων Πανεύφημε.

Τοῖς μεταλαμβάνουσι, τὰ τῆς Πηγῆς σου πάνσεπτα νάματα, πανευμενῶς παρέχεις, Θεράπων, ἰαμάτων χαρίσματα.

Θεοτοκίον.

Ἐπίσκεψε Ἄχραντε, νοσηλευόμενον δοῦλόν σου, καὶ τῆς δεινῆς ἀλγηδόνος ῥῦσαι, καὶ παντοίας με θλίψεως.

ᾠδὴ Δ΄. Εἰσακήκοα Κύριε. . .

Ἡ ὑπέρφωτος ἔλλαμψις, τοῦ Παντοδυνάμου, Θεράπων, Πνεύματος, τῇ ψυχῇ σου ἐνοικήσασα, τοὺς Πιστοὺς φωτίζειν σε ἠξίωσεν.

Ἀθλητῶν συμπαθέστατος πάντων πεφηνὼς, Θεράπων Μακάριε, τὴν ὑγείαν δὸς πρεσβείαις σου, τοῖς τυραννουμένοις δεινοῖς πάθεσιν.

Ὦ Θεράπων Μακάριε, τοὺς πιστῶς τιμῶντας καὶ εὐφημοῦντάς σε, μεσιτείᾳ σου εἰρήνευσον καὶ παθῶν ποικίλων ἐλευθέρωσον.

Θεοτοκίον.

Ῥῶσιν δίδου μοι, Δέσποινα, καὶ τὴν σηπεδόνα ψυχῆς μου ξήρανον, καὶ κινδύνων με ἐξάρπασον, καὶ τῆς κατεχούσης ἀπογνώσεως.

ᾠδὴ Ε΄. Φώτισον ἡμᾶς. . .

Φίλος ἀληθὴς τοῦ Δεσπότου ὢν, Πανεύφημε, φύλαττε ἡμᾶς τοὺς σὲ ἀνυμνοῦντας, ὦ Ἀθλοφόρε Θεράπων καὶ μακαρίζοντας.

Ῥῦσαι τοὺς πιστῶς εὐφημοῦντας τοὺς ἀγῶνάς σου, νόσων τε

www.tezaurliturgic.ro



δεινῶν καὶ πάσης κακώσεως, Ἱερομάρτυς τοῦ Χριστοῦ Θεράπων Ἔνδοξε.

Ὤφθης εὐμενὴς σὺ προςάτης τοῦ οἰκέτου σου· διό σοι προσφέρω ᾠδὴν, ὦ Θεράπων, κατ' ὀφειλήν μοι ἀληθῶς εὐχαριστήριον.
Θεοτοκίον.

Ἅπαντα ἐχθρὸν δυσμενῶς ἐπιτιθέμενον, ἡμῖν τοῖς δούλοις σου, Πανάμωμε,, θείῳ σου κράτει συμπατοῦσα ἐξαφάνισον.

## ᾨδὴ ΣΤ΄. Ἱλάσθητί μοι Σωτήρ.

Ἀρύσασθε, ὦ Πιστοὶ, ἰάματα μὴ κενούμενα, ἐκ τῆς Πηγῆς τοῦ σεπτοῦ Θεράποντος Μάρτυρος, δεινῶν ἀπαλλάττοντος, καὶ παντοίων νοσων, τοὺς αὐτὸν ἀεὶ γεραίροντας.

Ἀσθενειῶν καὶ δεινῶν κινδύνων ἡμᾶς ἀπάλλαξον, Ἱερομάρτυς Χριςοῦ Θεράπων Μακάριε, ταῖς θείαις πρεσβείαις σου, τοὺς σὲ ἀνυμνοῦντας καὶ τιμῶντας τὴν Εἰκόνα σου.

Θεράπων θαυματουργὲ, τοὺς εὐλαβῶς σοι προστρέχοντας, ἐκ πάντων τῶν βλαβερῶν καὶ νόσων διάσωσον, λιταῖς σου Παναγιε, ταῖς πανευπροσδέκτοις, καὶ πταισμάτων δὸς τὴν ἄφεσιν.
Θεοτοκίον.

Φωτὶ ἀπείρῳ τοῦ σοῦ προσώπου με καταλάμπρυνον, Παρθενομῆτορ Ἁγνὴ, βυθοῦ ἀπογνώσεως, ἀεὶ ἀπαλλάτουσα, καὶ πρὸς μετανοίας τοὺς λιμένας ἐμβιβάζουσα.

Διάσωσον παντὸς κινδύνου, νόσων τε καὶ πταισμάτων, τοὺς εἰλικρινῶς σοι, Θεράπων προστρέχοντας, πρεσβείαις σου ἱεραῖς πρὸς τὸν Κτίστην.

Καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β΄.

## Τὰ ἄνω ζητῶν. . .

Ὡς Μάρτυρα Χριστοῦ καὶ φίλον δοξάζομεν, αἰτοῦντες εὐλαβῶς τὴν θερμήν σου ἀντίληψιν, Θεράπων Πανάγιε, ἣν παράσχου



ἡμῖν τοῖς οἰκέταις σου, τοῖς τῇ Πηγῇ σου προστρέχουσι, ῥυόμενος κινδύνων καὶ ἀδοκήτων ἡμᾶς δεινῶν.

Καὶ εὐθὺς τὸ Προκείμενον. ἦχος, δ΄.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. . . .

Στίχος. Οἱ Ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην.

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ· προσκαλεσάμενος τοὺς δώδεκα Μαθητὰς αὐτοῦ. . . . κτλ. (Ζήτει Νοεμβρίου 1).

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου. . . Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον Ἦχος Πλ. Β΄.

Ἀπαλλαγὴ παντὸς κινδύνου, παθῶν ποικίλων καὶ νόσων ὑπάρχουσα ἡ Πηγή σου, Θεράπων, ῥῶσιν πᾶσι τοῖς πιστῶς αὐτῇ προσιοῦσι παρέχει, καὶ ἐκ κινδύνων ἀπαλλάττει, τῇ θείᾳ σου πρεσβείᾳ Ἱεράρχα.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ.

## ᾨδὴ Ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Τῶν Κυπρέων τὸ κλέος καὶ ἑῴας ἡ δόξα, Θεράπων Ἅγιε, ἀθλήσας ἐδοξάσθης καὶ νῦν ἐν Οὐρανίοις κατοικῶν τοῖς σκηνώμασιν· ἡμῶν τῶν σὲ ὑμνούντων μνημόνευε Παμμάκαρ.

Ὡς φωστὴρ φαεσφόρος καὶ κλεινὸς Ἱεράρχης, Θεράπων ἔνδοξε, ἀνέτειλας ἀκτῖσιν ἀθλήσεως φωτίζων τῶν πιστῶν τὰ συστήματα, καὶ τοῖς ἐν νόσοις δειναῖς δωρούμενος ὑγείαν.

Τὸν ἐκ σοῦ κηρυχθέντα προαιώνιον Λόγον Θεὸν καὶ ἄνθρωπον, ἱκέτευε, Θεράπων, ὑπὲρ τῶν ἀνυμνούντων τὴν σὴν ἔνδοξον ἄθλησιν, καὶ σαῖς λιταῖς δὸς αὐτοῖς ψυχῆς τὴν σωτηρίαν.
Θεοτοκίον.

Ἐξ ἱδρώτων καὶ πόνων στεναγμῶν τε καρδίας, Θεογεννήτρια, συναίσθησις γεννᾶται, ἀπάθεια δ' ἐκ ταύτης, ἧς καὶ φθάσαι τοὺς πρόποδας, ἀξιωθείην ἐγὼ ὁ πταίσας ὑπὲρ πάντας.

www.tezaurliturgic.ro



## ᾨδὴ Η'. Τὸν Βασιλέα.

Τοὺς προστασίας τῆς παρὰ σοῦ δεομένους μὴ παρίδῃς, Θεράπων, τιμῶντας καὶ ἀσπαζομένους τὴν θείαν σου Εἰκόνα.

Νόσων παντοίων τὰς προσβολὰς ἐκδιώκεις, καὶ κινδύνων παντοίων, Θεράπων, ἐκ τῶν προσιόντων Πηγῇ σου τῇ ἁγίᾳ.

Θεὸν τῶν ὅλων, σὺ ὦ Θεράπων, δυσώπει, καταπέμψαι ἡμῖν τὴν εἰρήνην, καὶ τῶν ἐνοχλούντων δεινῶν ἡμᾶς λυτρῶσαι.

Θεοτοκίον.

Ἵνα δοξάζω καὶ προσκυνῶ μετὰ δέους, σοῦ τὸ πάνσεπτον ὄνομα, Κόρη, θλίψεώς με πάσης ἐκλύτρωσαι καὶ βλάβης.

## ᾨδὴ Θ'. Κυρίως Θεοτόκον.

Τοῖς πίστει προσιοῦσι τῇ θείᾳ Πηγῇ σου καὶ ἀνυμνοῦσι, Θεράπων τοὺς ἄθλους σου, ἁμαρτημάτων τὴν λύσιν εὐχαῖς σου δώρησαι.

Ὡς ἔχων παῤῥησίαν, ἔνδοξε Θεράπων, πρὸς τὸν Σωτῆρα τῶν ὅλων καὶ Κύριον, ῥῶσιν σεπταῖς σου λιταῖς, ἡμῖν πᾶσι δώρησαι.

Τοῖς πόθῳ εὐφημοῦσι, πάντιμε Θεράπων, τοὺς ἱεροὺς καὶ γενναίους ἀγῶνάς σου, ἁμαρτημάτων τὴν λύσιν δίδου πρεσβείαις σου.

Θεοτοκίον.

Μαρία Θεοτόκε, τοὺς πίστει τιμῶντας καὶ προσκυνοῦντας τὸν Τόκον σου, Πάναγνε, ἁμαρτιῶν καὶ δεινῶν ῥῦσαι, πρεσβείαις σου.

Τό, Ἄξιόν ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Τοὺς μετ' εὐλαβείας τῇ ἱερᾷ καὶ θείᾳ Πηγῇ σου προσιόντας ταῖς πρὸς Χριστὸν, θερμαῖς σου πρεσβείαις, ῥυόμενος μὴ παύσῃ κινδύνων ἀδοκήτων, Θεράπων Πάντιμε.

Ῥῶσιν δὸς τῷ δούλῳ σου, Ἀθλητὰ, ἔνδοξε Θεράπων ὡς τὴν χάριν παρὰ Θεοῦ, τοῦ σώζειν ἀξίως λαβὼν, παντὸς κινδύνου, τοὺς τῇ σεπτῇ Πηγῇ σου θερμῶς προστρέχοντας.



Παθῶν ταραττόμενος προσβολαῖς, πρὸς σὲ καταφεύγω τὴν ἀνάῤῥωσιν ἐκζητῶν, Θεράπων Κυρίου Ἱεράρχα καὶ Μάρτυς· ἐκ τούτων οὖν ἁπάντων, σύ με ἀπάλλαξον.

Χάριν τῶν θαυμάτων παρὰ Θεοῦ λαβὼν, Ἱεράρχα, θεραπεύεις πάθη δεινά· διὸ τῶν πιστῶς σου τῇ Πηγῇ προσιόντων, θεράπευσον τὰ πάθη, Θεράπων ἔνδοξε.

Καὶ τὸ, Πᾶσαι τῶν Ἀγγέλων.

Τρισάγιον, καὶ τὸ Τροπάριον Ἦχος Γ'.

Μέγαν εὕρατο ἡ Κωνσταντίνου, ῥύστην πρόμαχον καὶ Ἰατῆρα, νόσων παντοίων, Θεράπων Πανεύφημε· ὡς οὖν Τυράννου καθεῖλες τὴν δύναμιν, καὶ ἐν σταδίῳ τὸν Χριστὸν Θεὸν ὡμολόγησας, οὕτω, Πάνσεπτε, αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύει.

Εἰς τὴν Ἀπόλυσιν ψάλλομεν τὸ παρὸν Προσόμοιον, Ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Μάρτυς Ἱεράρχα τοῦ Χριστοῦ, παῦσον ἱκεσίαις σου πᾶσαν, Θεράπων, ἔφοδον, νόσων τε καὶ θλίψεων καὶ τὸν φρικώδη σεισμὸν, καὶ κινδύνους ἀπέλασον ἀπὸ τῶν τιμώντων τοὺς σεπτοὺς ἀγῶνάς σου, καὶ τὴν ζωήῤῥυτον Πηγὴν τῶν σεπτῶν σου Ναμάτων, καὶ τὴν καθ' ἡμῶν φερομένην τοῦ πικροῦ θανάτου στῆσον μάστιγα.

ΤΕΛΟΣ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

www.tezaurliturgic.ro



# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΕΝΔΟΞΟΥΣ ΜΕΓΑΛΟΥΣ ΒΑΣΙΛΕΙΣ ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΟΥΣ

# ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΚΑΙ ΕΛΕΝΗΝ·

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος· καὶ τὸ Τροπάριον Ἦχος Δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΤΟΥΣ Ὀρθοδόξων Βασιλέων προστάτας, οἱ συνεχόμενοι δεινοῖς ἀνυποίστοις, ἐκλιπαροῦντες κράξωμεν ἐκ βάθους ψυχῆς, Κωνσταντῖνε μέγιστε καὶ θεόφρον Ἑλένη, λιταῖς ὑμῶν, Θεόσεπτοι, πάσης ῥύσασθε βλάβης, καὶ ἐκ δεινῶν λυτρώσασθε ἡμᾶς, ὡς πρεσβευταὶ ἀεὶ ἡμῶν θερμότατοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τῇ Θεοτόκῳ ἐκτενῶς...

Ὁ Ν'. Καὶ ὁ Κανὼν, ἔχων Ἀκροστιχίδα

« Κωνσταντῖνον Ἑλένην Ἄνακτας γεραίρω. »

ᾨδὴ Α'. ἦχος πλ. Δ'. Ὑγρὰν διοδεύσας.

Κύριε τῆς δόξης καὶ Βασιλεῦ τῆς κυριευούσης ἀσθενείας με χαλεπῆς, τῶν σεπτῶν Ἀνάκτων ἱκεσίαις, τὸν σὸν οἰκέτην εὐσπλάγχνως ἀπάλλαξον.

Ὡς ὄντως ἐγένου σὺ ἐραστὴς, Κωνσταντῖνε μέγα, Βασιλείας τῶν Οὐρανῶν, οὕτω τὸν σὸν δοῦλον βασιλεύειν, κατὰ παθῶν καὶ δαιμόνων ἀξίωσον,

Νοὸς μου τὸ σκότος, ταῖς σαῖς εὐχαῖς, Ἑλένη θεόφρον, καταλάμπρυνον ταῖς φαιδραῖς, ἃς ἀπολαμβάνεις ἀεννάως, θεαρχικὰς Οὐρανίας λαμπρότητας Θεοτοκίον·



Σὺ ὄντως τῆς θείας Ἀνατολῆς, ὑπάρχουσα Πύλη, πύλας ἄνοιξόν μοι Ἁγνὴ, μετανοίας ἀληθοῦς, καὶ ἐκ πυλῶν με τῆς ἁμαρτίας λιταῖς σου ἐξάρπασον.

ᾨδὴ Γ. Οὐρανίας Ἀψῖδος. .

Τυχεῖν σπεύσας ἐνθέων ἀνταμοιβῶν, Πάνσεπτε, πλάνην σὺ κατέλιπες καὶ σκότος πατροπαράδοτον· κἀμὲ οὖν δέομαι, δαιμονικῆς, σαῖς πρεσβείαις, πλάνης σκοτιζούσης τὸν νοῦν μου ἀπάλλαξον.

Ἀπὸ πάσης ἀνάγκης καὶ τῶν δεινῶν λύτρωσαι, ἅπαντας τοὺς πίστει, Ἑλένη σοὶ καταφεύγοντας, ταῖς ἱκεσίαις σου, πρὸς τὸν τεχθέντα ἀφράστως, καὶ Σταυρὸν καὶ θάνατον καθυπομείναντα.

Ναὸν θεῖον, Ἑλένη, ἐν τῇ Σιὼν κτίσασα, καὶ τὸ ἄρραγὲς Χριστιανῶν θεῖον τρόπαιον, σὺ φανερώσασα, ὑπὲρ ἡμῶν ἐκδυσώπει, ἀῤῥαγῆ καὶ ἄτρεπτον τὴν πίστιν τηρήσασθαι. Θεοτοκίον.

Τὸν βυθῷ ἁμαρτίας, διηνεκῶς κείμενον δοῦλόν σου, Παρθένε, ὡς εὔσπλαγχνος σὺ ἐξέγειρον· σῶσόν με οἴκτειρον· Σὺ γὰρ λιμὴν τῶν ἐν ζάλῃ, καὶ τῶν πεπτωκότων θεία ἀντίληψις.

ᾨδὴ Δ'. Εἰσακήκοα Κύριε.

Ἱλασμὸν καὶ συγχώρησιν, τὸν Παμβασιλέα Θεὸν ἱκέτευε, τῶν πταισμάτων μοι δωρήσασθαι, Κωνσταντῖνε Μέδων ἁγιώτατε.

Νῦν Ἀνάκτων τὸ καύχημα, θεῖε Κωνσταντῖνε, φωτὶ παρίστασαι τῆς Τριάδος, τὰς ψυχὰς ἡμῶν καταλάμπων θείαις ἱκεσίαις σου.

Ὄντως Μέδων Παμπόθητε, σὺ τῶν Ὀρθοδόξων εἶ τὸ κραταίωμα, τῶν πτωχῶν μέγας ὑπέρμαχος καὶ τῶν αἰχμαλώτων ἡ ἀνάῤῥυσις. Θεοτοκίον.

Νῦν ψυχήν μου Πανάχραντε, τὴν ἐσκοτισμένην τοῖς παραπτώμασι, ὡς Θεὸν σαρκὶ κυήσασα, φωτὶ Οὐρανίῳ καταλάμπρυνον

ᾨδὴ Ε'. Φώτισον ἡμᾶς.

www.tezaurliturgic.ro



Ἔλαβες, Σεπτὲ, ἐκ Θεοῦ σοφίαν ἄμετρον, καὶ τοῦ Σολομῶντος τὴν φρόνησιν· διὸ σοφίᾳ λιταῖς σου θείᾳ με καταγλάϊσον.

Λάμπρυνον στολὴν τῆς ψυχῆς μου, Ἰσαπόστολε, ἣν παθῶν κηλῖσιν ἠμαύρωσα, καὶ εἰς νυμφῶνα τοῦ Ὑψίστου με εἰσάγαγε.

Ἔφερες εἰς φῶς τὸν κρυπτόμενον ἐν ἔτεσι πλείςοις τοῦ Σωτῆρος τάφον τὸν ἅγιον, ὃν προσκυνῆσαι, ὦ Ἑλένη με ἀξίωσον.

Θεοτοκίον.

Νέφη τῶν παθῶν ἀποσόβησον, Πανάχραντε, ὡς φωτὸς νεφέλη ὑπάρχουσα, ἐκ τῆς ψυχῆς μου, καὶ σῇ αἴγλῃ με καταύγασον.

ᾨδὴ ΣΤʹ. Τὴν δέησιν ἐκχεῶ.

Ἤθροισας, Κωνσταντῖνε θεόφρον. ἐν Συνόδῳ τὸν χορὸν τῶν Πατέρων, καὶ δι' αὐτῶν τὰς καρδίας ἁπάντων, Πίστεως θείας τοῖς νόμοις ἐςήριξας· ἀξίωσον οὖν καὶ ἡμᾶς, τοῦ φυλάττειν τὴν Πίστιν ἀμόλυντον.

Νοῦν σου, θεόφρον, εἰς τὸν Πλάστην ςηρίξας, τὸν τοῖς πᾶσι παρέχοντα τὸν βίον, εἰδωλικῆς καὶ ματαίου θρησκείας, ἀπεσκοράκισας ὅλως σεβάσματα· εὔχου δὲ καὶ ὑπὲρ ἡμῶν, ἀκλινεῖς ἐν τῇ Πίστει φυλάττεσθαι

Ἄφθορον πολιτείαν ποθοῦσα, τὴν Θεόσδοτον ἠσπάσθης θρησκείαν· τῷ Βασιλεῖ δὲ τῶν αἰώνων, Ἑλένη, ὑποταχθεῖσα χορεύεις αἰώνια, πρεσβεύουσα ὑπὲρ ἡμῶν τῶν πιστῶς ἐκτελούντων τὴν Μνήμην σου.

Θεοτοκίον.

Νήχεται, Πανακήρατε Κόρη, ἡ πανάθλιος ψυχή μου κακίαις· διὸ λουτρῷ μετανοίας τελείας, καὶ τοῖς κρουνοῖς τῶν δακρύων καθάρισον· καὶ σῶσόν με τὸν δυστυχῆ, ἐπὶ σὲ ἀδιςάκτως προστρέχοντα.

Ἐκ θλίψεων καὶ ἐκ παντοίων κινδύνων καὶ νόσων, Ἰσαπόστολοι θεῖοι, τοὺς ἡμᾶς πιστῶς, ῥύσασθε, γεραίροντας, λιταῖς ὑμῶν πρὸς Θεὸν τοῖς ἐνθέρμοις.

Καὶ Θεοτοκίον Ἐπίβλεψον...



Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Γʹ.

Κωνσταντῖνος σήμερον σὺν τῇ Μητρὶ τῇ Ἑλένῃ, τὸν Σταυρὸν ἐμφαίνουσι τὸ πανσεβάσμιον Ξύλον, πάντων μὲν τῶν Ἰουδαίων αἰσχύνην ὄντα, ὅπλον δὲ πιστῶν Ἀνάκτων κατ' ἐναντίων· δι' ἡμᾶς γὰρ ἀνεδείχθη σημεῖον μέγα καὶ ἐν πολέμοις φρικτόν.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δʹ.

Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου· ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν...

Στίχος. Ὑπέταξε λαοὺς ἡμῖν καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου. . . κτλ. (Ζήτει Ἰουνίου 29).

Δόξα. Ταῖς τῶν Θεοσέπτων. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον

Ἦχος Πλ. Βʹ. Μεταβολὴ τῶν θλιβομένων.

Μεταβολὴ τῶν αἰχμαλώτων, ἀνόρθωσις τῶν πεπτωκότων ὑπάρχοντες, Βασιλεῖς θεοφόροι, σώσατε Πόλιν καὶ Λαὸν, τῶν πολεμουμένων οἱ προςάται, καὶ ἀνορθωταὶ τυραννουμένων, ταῖς θείαις ὑμῶν ἐντεύξεσι.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου, κτλ.

ᾨδὴ Ζʹ. Παῖδες Ἑβραίων.

Ἄναξ, τὸ κλέος ἀνεδείχθης τῶν Ἀνάκτων· σκηνώματα δ' Ἀγγέλων κατοικῶν, τῶν πιστῶς ἡμῶν σε ἀνυμνούντων, τὸ κοσμικὸν κλυδώνιον, καταπράϋνον λιταῖς σου.

Κύριος στέφανον, ὦ Ἄναξ, ἀπονέμει σοι γενναίως καθελόντι, τῶν εἰδώλων βωμοὺς, καὶ πάντας τοὺς ἀνθρώπους, εἰς Πίστιν ὁδηγήσαντι, τὴν ὀρθὴν καὶ παναγίαν.

Τίς διηγήσεται, Ἑλένη, οὓς ὑπέστης θεοφιλεῖς ἀγῶνας, ὑπὲρ Πίστεως, ἣν ἠγάπησας, θεόφρον· ἐν ταύτῃ οὖν στερέωσον σαῖς λιταῖς τοὺς σοὺς οἰκέτας.

Θεοτοκίον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΗΤΟΡΗΣ ΠΑΠΑΣΤ...

www.tezaurliturgic.ro



Ἄχραντε Κόρη, ἁμαρτάνων, καὶ δουλούμενος ἀτόποις συνηθίαις, τῇ σεπτῇ σου ἀεὶ προστρέχω συμπαθείᾳ, ἀπηλπισμένον σῶσόν με, μητρικαῖς σου ἱκεσίαις.

### ᾠδὴ Η'. Τὸν Βασιλέα.

Σοὶ Κωνσταντῖνε, καταφεύγων ὁ τάλας, ἀνακούφισιν ἀπολαβεῖν ἐλπίζω, τῶν κακῶν ὧν πάσχω, ταῖς θείαις σου πρεσβείαις.

Γραπτοὺς τοὺς ὕμνους εὐλαβῶς σοι προσφέρω ἱκετεύων, ὦ Ἄναξ, ὅπως σώσῃς ἐκ τῶν ἐνοχλούντων ἐχθρῶν με, σαῖς πρεσβείαις.

Εὐσεβοφρόνως οἱ φιλέορτοι δεῦτε προσπελάσωμεν, Ἑλένῃ τῇ θείᾳ, ὅπως νοσημάτων ῥυσθῶμεν καὶ κινδύνων. Θεοτοκίον.

Ῥανίδα στάξον θείας γνώσεως, Κόρη, ἐκ τῶν ἄνω μοι, ὡς τέξασα σοφίας, χορηγὸν τὸν Θεῖον, καὶ φώτισον τὸν νοῦν μου.

### ᾠδὴ Θ'. Κυρίως Θεοτόκον...

Ἁγίως τὴν ζωήν σου τελέσας, Κωνσταντῖνε, σὺν τοῖς Ἁγίοις οἰκεῖν κατηξίωσαι, ὑπὲρ ἡμῶν ἱκετεύων τὸν Παντοκράτορα.

Ἰάματα παντοῖα βλύζει ἡ Εἰκών σου, καὶ ἀπελαύνει Τυράννων φρυάγματα, ὦ Κωνσταντῖνε, διό σε πίστει γεραίρομεν.

Ῥῦσαι ἐκ κινδύνων πάντας, ὦ Ἑλένη, τοὺς μετὰ πίστεως σοι προστρέχοντας, καὶ ἐκ τῶν νόσων ἀπάλλαξον, ταῖς πρεσβείαις σου. Θεοτοκίον.

Ὦ Θεοτόκε Κόρη, πυρὸς αἰωνίου, τοὺς προσκυνοῦντας τὸν Τόκον σου, λύτρωσαι· Σὺ γὰρ ἡμῶν εἶ προστάτις τῶν ἀνυμνούντων σε.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Καὶ τὰ παρόντα Μεγαλυνάρια.

Τὸν μέγαν Κωνσταντῖνον σὺν τῇ μητρὶ Ἑλένῃ τῇ θείᾳ, τοὺς προστάτας τῶν εὐσεβῶν, καὶ ἀσείσους βάσεις τῆς εὐσεβοῦς θρησκείας, εὐφήμως κατ᾽ἀξίαν ἀνευφημήσωμεν.

Δώρησαι, Θεόστεπτε Βασιλεῦ, τοῖς Μνήμην τελοῦσι τὴν ἁ-



γίαν σου, σαῖς λιταῖς, ἄφεσιν πταισμάτων καὶ τῶν δεινῶν τὴν λύσιν, ὡς ἔχων παῤῥησίαν πρὸς τὸν φιλάνθρωπον.

Ὀρφανῶν ὑπέρμαχον καὶ πτωχῶν, θησαυρόν σε μέγαν, ἀπορούντων τε φροντιστήν, αἰχμαλώτων ῥύστην καὶ ταπεινῶν προστάτην, εἰδότες σε τιμῶμεν, ὦ Ἰσαπόστολε.

Πλήρης γενομένη ἁγιασμοῦ, Ἑλένη θεόφρον, Ἰαμάτων βλύζεις κρουνούς, δι᾽ὧν ἀποπλύνεις δυσώδεις ἀσθενείας, τῶν σὲ ἀνευφημούντων, ταῖς ἱκεσίαις σου.

Ὑπὸ Ἰωσὴφ Μοναχοῦ.

Πάντες σε τιμῶμεν χρεωστικῶς, θεῖε Κωνσταντῖνε, ὡς ἀνάκτων θεοσεβῶν, πρῶτον καὶ κρηπῖδα τῆς Πίστεως τῆς θείας, σὺν τῇ Μητρὶ Ἑλένῃ ὕμνοις γεραίροντες. Θεοτοκίον.

Ἵλεως γενοῦ μοι τῷ ταπεινῷ ὅτι πλὴν σου ἄλλην οὐ γινώσκω καταφυγήν, ὁ ἐν ἁμαρτίαις παντοίαις πεπλησμένος· ἐλέησόν με μόνη Χριστιανῶν ἡ ἐλπίς.

Τρισάγιον. Καὶ τὸ Τροπάριον. Ἦχος Πλ. Δ'.

Τοῦ Σταυροῦ σου τὸν τύπον ἐν Οὐρανῷ θεασάμενος, καὶ ὡς ὁ Παῦλος τὴν κλῆσιν οὐκ ἐξ ἀνθρώπων δεξάμενος, ὁ ἐν Βασιλεῦσιν Ἀπόστολός σου, Κύριε, Βασιλεύουσαν Πόλιν τῇ χειρὶ σου παρέθετο, ἣν περίσωζε διὰ παντὸς ἐν εἰρήνῃ, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

ὁ Ἱερεὺς μνημονεύει.

Εἶτα ἐκτενής, καὶ ἀπόλυσις· καθ᾽ ἣν ψάλλομεν τὸ παρὸν Προσόμοιον. Ἦχος Β'.

### Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν...

Δεῦτε ἀνυμνήσωμεν Πιστοί, τοὺς τῶν εὐσεβῶν βασιλέων προστάτας, δεῦτε φαιδρῶς τούτους εὐφημήσωμεν, ἀναβοῶντες αὐτοῖς· Κωνσταντῖνε θεόσεπτε, θεόφρον Ἑλένη, παύσατε δεόμεθα κακῶν τὴν πρόοδον, θλίψεων πραΰνατε σάλον, καὶ τοῖς αἰχμαλώτοις τὴν ῥῦσιν, ταῖς λιταῖς ἡμῶν νῦν χορηγήσατε.

ΤΕΛΟΣ.

www.tezaurliturgic.ro



# ΕΤΕΡΟΣ

## ΠΡΟΣ ΤΟΥΣ ΔΩΔΕΚΑ ΕΝΔΟΞΟΥΣ

## ΑΠΟΣΤΟΛΟΥΣ·

ΥΠΟ ΤΟΥ ΑΟΙΔΙΜΟΥ ΝΙΚΟΔΗΜΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΑΓΙΟΡΕΙΤΟΥ.

Μετὰ τόν, Εὐλογητόν, τό, Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ'.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ. . .

ΤΩΝ Ἀποστόλων τῷ Ναῷ νῦν προσδράμωμεν, καὶ τῇ Εἰκόνι τῇ αὐτῶν προσκυνήσωμεν, ἐκ κατωδύνου κράζοντες καρδίας αὐτοῖς· πάσης ἡμᾶς ῥύσασθε, ἐπηρείας καὶ βλάβης, ὁρατῶν ἁπάντων τε καὶ ἐχθρῶν ἀοράτων, τοὺς μετὰ πόθου σκέπῃ τῇ ὑμῶν προσπεφευγότας, Ἀπόστολοι ἔνδοξοι.

Δόξα. καὶ Νῦν Θεοτοκίον. Τῇ Θεοτόκῳ. . .

Ὁ Ν'. καὶ ὁ Κανών, ἀπὸ μὲν τῆς Α'. ᾠδῆς μέχρι τῆς ϛ'. περιέχων, τὰς ἑρμηνείας τῶν ὀνομάτων ἑνὸς ἑκάςου αὐτῶν· ἀπὸ δὲ τῆς ϛ'. μέχρι τῆς Θ', ἐν τίσιν, διαλαμβάνων, τόποις ἐκήρυξε, καὶ ποῖον εἴληφε τέλος, μετὰ τῆς ἀνολόγου ἱκεσίας.

ᾠδὴ Α'. Ἁρματηλάτην Φαραώ.

Πέτρε, ὁ πέτραν ἀῤῥαγῆ τῆς Πίστεως, φερωνυμίαν πλουτῶν τὴν ἐμὴν καρδίαν, κλονουμένην πάντοτε, τοῦ βίου ἀντιπνεύσεσιν, ἑδρασθῆναι ἐν πέτρᾳ ὑπομονῆς καθικέτευε, Πέτραν Ἰησοῦν τὸν Φιλάνθρωπον.

Παῦλε, ἡ παῦλα καὶ τερπνὴ ἀνάπαυσις, τῆς Ἐκκλησίας Χριστοῦ, ἀνιέρῳ σάλῳ, κινουμένῳ ἵδρυσις, γενοῦ μοι καὶ ἀσφάλεια, ἱερὰ καὶ εἰς πάντων τῶν λογισμῶν τὴν κατάπαυσιν, θείαις σου πρεσβείαις εἰσάγαγε.



Ἀνδρέα θεῖε τοῦ Χριστοῦ Ἀπόστολε, ὁ δύναμις εὐπρεπής, ἑλληνίδι γλώσσῃ, μεθερμηνευόμενος· ἐμὲ τὸν πολλοῖς πταίσμασιν ἀσθενῆ γεγονότα, καὶ δυσειδῆ ἐνδυνάμωσον, καὶ θείαν εὐπρέπειαν ἔνδυσον.

Θεοτοκίον.

Ἄνθρακος θείου φλογοφόρον ὄχημα ἀναδειχθεῖσα, Ἁγνή, ἐξ οὗ ὥς περ ἄλλοι, ἄνθρακες ἀνήφθησαν, οἱ Ἱεροὶ Ἀπόςολοι· τῆς ψυχῆς μου τὴν ὕλην, ἐν τῷ πυρὶ τῷ ἀΰλῳ σου φλέξον, Μητροπάρθενε Δέσποινα.

ᾠδὴ Γ'. Οὐρανίας ἁψῖδος.

Πτερνιστὴς ἀνεδείχθης, σὺ τῶν παθῶν Ἔνδοξε γόνε Ζεβεδαίου βροντῆς τε θεῖε Ἰάκωβε, κλῆσιν κατάλληλον πεπλουτηκώς, διὸ πάντα τῆς σαρκὸς τὰ πάθη με νικᾷν ἐνίσχυσον.

Θείαν χάριν σημαίνει ἡ ἱερὰ κλῆσίς σου, Μάκαρ Ἰωάννη Παρθένε, ἥν περ ἀπήλειφας, πλουσίαν ἄνωθεν, ὡς Θεολόγος Κυρίου· διὸ θείας χάριτος δεῖξόν με σκήνωμα.

Στόμα ὄντως λαμπάδος σὸν ἱερὸν ὄνομα, Φίλιππε τρισμάκαρ, δηλοῖ μεθερμηνεύομενον· διὸ νυμφῶνα Χριστοῦ, μετὰ φαιδρᾶς τῆς λαμπάδος, κατοικεῖν με πάντοτε, πρέσβευε Ἔνδοξε.

Θεοτοκίον.

Τὴν πηγὴν ἀπαθείας σὺ μὲν Ἁγνή, ἔτεκες, Μῦσται δὲ ἐκήρυξαν Κόσμῳ· διὸ τοῦ σώματος, τῆς ἐμπαθείας με, ἡδυπαθείας ψυχῆς τε, νοὸς προσπαθείας τε, Κόρη ἀπάλλαξον.

ᾠδὴ . Δ'Σύ μου ἰσχὺς Κύριε. .

Κλῆσις ἡ σὴ μεθερμηνεύεται Δίδυμος· τῇ ἐγέρσει γὰρ Χριςοῦ ἐδίστασας, Θωμᾶ· ψυχὴν διὸ τὴν ἐμήν, τῇ ἐγέρσει λόγου τοῦ ἐν ἐμοὶ ἀμφιβάλλουσαν, ταῖς μνήμαις τῶν κακῶν μου ἀπαθῶς τυπουμέναις, ὡς ἐν τύπῳ τῶν ἥλων βεβαίωσον.

Ὄνομα σόν, υἱὸν κρεμάσαντα ὕδατα ὑπεμφαίνει· τῆς γὰρ θείας χάριτος ῥεῖθρα σαφῶς, ἔβλυσας βροτοῖς, ἄνωθεν κρεμάσας,

www.tezaurliturgic.ro



Βαρθολομαῖε Ἀπόστολε· διό με τὸν διψῶντα ὑπερῴων ὑδάτων, ἀτμοσφαίρᾳ σῆς χάριτος ἄρδευσον.

Παρὰ Θεοῦ δεδωρημένον αἰνίττεται σὲ Ματθαῖε, τὸ σεπτόν σου ὄνομα πᾶσι βροτοῖς· διὸ τῷ Χριστῷ, ἐμὲ ἀντιστρόφως ἐκ τῶν ἀνθρώπων προσάγαγε, δεδωρημένον ὅλον ψυχὴν πνεῦμα καὶ σῶμα· ἵνα πόθῳ γεραίρω τὴν Μνήμην σου. Θεοτοκίον.

Τοῦ Οὐρανοῦ τὸν Ποιητὴν ἡ γεννήσασα, τὸν ὡς ἄλλους οὐρανοὺς ἐκτείναντα τοὺς Μαθητὰς εἰς πᾶσαν τὴν γῆν· ποίησον τὸν νοῦν μου παρεμφερῆ, Μητροπάρθενε, χρώματι οὐρανίῳ, προσευχῆς δι' ἀΰλου, γυμνηθέντα προσύλων ἐμφάσεων.

## ᾠδὴ Ε. Ἵνα τί με ἀπώσω.

Τῆς μαθήσεως γόνος, ἤτοι τῆς ζωῆς ἑρμηνεύει, Ἰάκωβε, τοῦ Ἀλφαίου γόνος χρηματίσας· διὸ ἱκετεύω σε, τῆς ζωῆς τὰς θείας καὶ ἱεράς με μαθητείας, καὶ μαθεῖν καὶ παθεῖν καταξίωσον. (δίς).

Ὑπακοὴν, ὦ Σίμων ζηλωτὰ Ἀπόστολε, δηλοῖ σὸν ὄνομα. Καὶ γὰρ ἀδιστάκτως τῷ Δεσπότῃ Χριστῷ καθυπήκουσας· τοῦ Κυρίου πάσαις ταῖς ἐντολαῖς, διὸ Παμμάκαρ, ὑπακούειν κἀμὲ ἐνδυνάμωσον.

Ἰούδα Ἰακώβου, ὁ ἐξομολόγησις ἑρμηνευόμενος· ἐξομολογεῖσθαι τῷ Κυρίῳ εὐχαῖς σου ἐνίσχυσον, καὶ μετανοεῖν με ἀπὸ ψυχῆς τε καὶ καρδίας, στεναγμοῖς προσευχαῖς τε καὶ δάκρυσι.

Ἅλας θεῖον, Ματθία, ἐκ Θεοῦ εἰς τὸν Κόσμον ἐβλήθης, Πάνσοφε· διὸ σηπεδόνα τοῦ νοός μου νοστίμοις διδάγμασι, κάθαρον εὐχαῖς σου, τὰς μαλακίας τῆς ψυχῆς μου καὶ σαρκὸς ἐκδιώκων, πανεύφημε. Θεοτοκίον.

Τετραπλῆς ἀπαθείας, σώματι ψυχῆς τε καὶ ἐπιθυμίᾳ τε, ἐνθεωρουμένης, ὡς οἱ θεῖοι Πατέρες διδάσκουσι, καὶ τῇ διανοίᾳ ἐμὲ ἀξίωσον, Παρθένε, δραστικαῖς Ἀποστόλων ἐντεύξεσιν.

## ᾠδὴ ΣΤ'. Τὴν δέησιν ἐκχεῶ.

Ἐφώτισας τῷ φωτὶ τῆς πίστεως, Ἀντιόχειαν καὶ Ῥώμην, ὦ



Πέτρε· καὶ ἐν σταυρῷ ἀντιστρόφως ἐπάγης, ἀλλὰ κἀμοῦ τὸ ζοφῶδες ἐκλάμπρυνον, καὶ σάρκα μετὰ τῶν παθῶν, διὰ πόνων σταυρῶσαι ἀξίωσον.

Πεπλήρωκας Εὐαγγέλιον θεῖον ἀπὸ Ἱερουσαλὴμ τε καὶ μέχρις Ἰλλυρικοῦ· ἐν δὲ Ῥώμῃ, ὦ Παῦλε, τὴν κεφαλὴν ἀπετμήθης· ἀλλ' ἔκτεμε, ψυχῆς μου οἴησιν δεινὴν, τοῦ Σατὰν κεφαλὴν τὴν ἀκέφαλον.

Διέδραμες, ὦ Ἀνδρέα ἔνδοξε, Βυζαντίδα καὶ τὴν Ἤπειρον πᾶσαν, ἕως Σκυθῶν καὶ Ἑλλάδος κηρύττων, καὶ ἐν αὐτῇ σταυρωθεὶς τετελείωσαι· διὸ κἀμὲ τῶν σῶν παθῶν καὶ τῆς δόξης σου μέτοχον ποίησον. Θεοτοκίον.

Ὑπέραγνε, ὑπὲρ νοῦν ἡ τέξασα, καὶ ἁγνῶς τὸν τῆς ἁγνείας σπορέα, τοῦ πονηροῦ τῆς λαγνείας σπορέως, τοὺς λογισμοὺς τοῦ νοός μου ἐκρίζωσον, ἐμφύτευσον δὲ τοὺς ἁγνοὺς, ἱεραῖς Ἀποστόλων δεήσεσι.

Διάσωσον, ὦ ἐκλεκτὴ δωδεκὰς Ἀποστόλων, ἀπὸ πάσης ἀνάγκης ἡμᾶς καὶ κακώσεως, τοὺς πόθῳ σε εὐφημοῦντας καὶ πίστει.

Καὶ Θεοτοκίον Ἄχραντε. . .

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Δ'.

Φῶς τοῦ Κόσμου καὶ ἅλας ἡδύως ὑπάρχοντες, γεωργοὶ καὶ ποιμένες Κυρίου Ἀπόστολοι, ἐνεργείας τούτων πάντων δωρήσασθε ἡμῖν, ἐκλαμπρύνοντες τὸν νοῦν καὶ σηπεδόνας τῶν παθῶν ἡμῶν ἀποξηραίνοντες· πρόρριζον ἀνασπῶντες, ἄκανθαν ἁμαρτίας καὶ ταῖς νομαῖς τῶν ἀρετῶν, ἡμᾶς ἀεὶ διατρέφοντες.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν. . .

Στίχος. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. . .

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ· ἰδὼν ὁ Ἰησοῦς τοὺς ὄχλους. . . κτλ. (Ζήτει Ἰουνίου 30).

Δόξα. Ταῖς τῶν Ἀποστόλων. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχος. Ἐλέησόν με ὁ Θεὸς, καὶ τὸ Προσόμοιον.

www.tezaurliturgic.ro



## Ἦχος Πλ. Β΄. Ὅλην ἀποθέμενοι.

Δώδεκα Ἀπόστολοι, ὅταν ἐν δώδεκα θρόνοις καθίσητε κρίνοντες τὰς φυλὰς τὰς δώδεκα, τότε δείξατε, οἰκιστὰς πόλεως τῆς ἐπουρανίου ἡμᾶς πάντας, Πανaοίδιμοι, τῆς θεμελίους τε δώδεκα ἐχούσης ἐκ δώδεκα λίθων, καὶ πύλας δώδεκα, ἐκ μαργαριτῶν δυωκαίδεκα· καὶ δωδεκαρίθμου καρποῦ μεταλαβεῖν τοῦ τῆς ζωῆς, Ξύλου ἡμᾶς ἀξιώσατε, ταῖς ὑμῶν δεήσεσι.

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου, κτλ.

## ᾠδὴ Ζ΄. Παῖδες Ἑβραίων.

Πᾶσαν διδάσκων Ἰουδαίαν, ὦ Ἰάκωβε Ζεβεδαίου, μαχαίρᾳ πίνεις τὸ τοῦ Χριστοῦ ποτήριον· διό με τῶν πειρασμῶν ἐνίσχυσον τὸ ποτήριον λαμβάνειν.

Σπέρματα σπείρεις εὐσεβείας, ἐν τῇ Πάτμῳ τε καὶ Ἀσίᾳ κηρύττων· καὶ κοίμησιν φρικτὴν ὑπέστης Ἰωάννη· διό μου κατακοίμησον, τῆς σαρκὸς ἄγρια πάθη.

Ἕλκεις εἰς πίστην τῆς Τριάδος τὰ ἀνώτερα μέρη τὰ τῆς Ἀσίας, καὶ τέλει σταυρικῷ Φίλιππε ἐκοιμήθης· διὸ κᾀμὲ ἀξίωσον, τοῖς ἐν Κόσμῳ σταυρωθῆναι. Θεοτοκίον.

Φῶς ἡ τεκοῦσα, Θεοτόκε, τὸ ἀπρόσιτον ὅπερ εἰς πάντα κόσμον, οἱ θεῖοι Μαθηταί, ἐκήρυξαν προθύμως, τὸν νοῦν μου φωταγώγησον, ἁμαρτίαις σκοτισθέντα.

## ᾠδὴ Η΄. Τὸν ἐν Ὄρει ἁγίῳ.

Ἐκκαθαίρεις βαπτίσματι τῷ θείῳ, Πάρθους, Μῆδας, Ἰνδούς τε καὶ τοὺς Σῆρας, καὶ λογχευθείς, Θωμᾶ, τὸ στέφος εἴληφας· ἀλλὰ δέομαί σου, καὶ τὴν ῥυπωθεῖσαν καθάρισον ψυχήν μου.

Τοῦ Κυρίου Ναοὺς σεπτοὺς δεικνύεις Ἀρμενίους, θεῖε Βαρθολομαῖε, καὶ σταυρωθεὶς τὸν δρόμον ἐκτετέλεκας· ὅθεν κᾀμὲ δεῖξον, Πνεύματος τοῦ θείου ναὸν ἡγιασμένον.

Αἰθιόπων τὰ πρόσωπα λευκαίνεις ταῖς ἀκτῖσι τῆς Πίστεως,



Ματθαῖε, καὶ ἐκδημεῖς διὰ πυρὸς πρὸς Κύριον· ἀλλὰ δέομαί σου κᾀμὲ πυρὶ φλέξον τῆς τοῦ Χριστοῦ ἀγάπης. Θεοτοκίον

Ἐκενώθη ὁ πλήρης ἐν γαστρί σου, ἀκενώτως καὶ κένωσιν τὴν τούτου, οἱ Μαθηταὶ τοῖς πέρασιν ἐκήρυξαν· ὅθεν κενὸν ὄντα χάριτος τῆς τούτων, πλήρη με δεῖξον, Κόρη.

## ᾠδὴ Θ΄. Ἐξέστη ἐπὶ τούτῳ. . .

Ἱεροσολυμίτας καὶ Καισαρεῖς, τοῦ Ἀλφαίου Ἰάκωβε ἔνδοξε, υἱοὺς Θεοῦ, διὰ τοῦ Βαπτίσματος ἐκτελεῖς, καὶ σταυρωθεὶς ἀνέδραμες, ἵνα βασιλεύσῃς σὺν τῷ Χριστῷ· διὸ κᾀμὲ δυσώπει, τὸν ἀποκηρυχθέντα, Υἱὸν Θεοῦ πάλιν ὀφθήσεσθαι.

Ὡς ἅλας τὴν σοφίαν σου ἐμβαλών, Ἀφρικῇ καὶ Περσίᾳ ἐξήρανας, πλάνην αὐτῶν, Σίμων Κανανῖτα καὶ ζηλωτά, καὶ σταυρωθεὶς ἐσκήνωσας ἔνθα τῶν Ἀγγέλων αἱ στρατιαί· διὸ ἐκδυσωπῶ σε, καὶ τῆς ψυχῆς μου πάσας τὰς σηπεδόνας ἀποξήρανον.

Δροσίζεις Ἀραβίας αὐχμῶσαν γῆν, Ἰακώβου Ἰούδα Ἀπόστολε, ζωοποιῷ, θείας ἐπιγνώσεως δροσισμῷ, καὶ τοξευθεὶς ἀνέλυσας, εἶναι σὺν Χριστῷ τῷ παμβασιλεῖ· διὸ κᾀμὲ ῥανίσι, τῶν θείων πρεσβειῶν σου, αὐχμῷ τακέντα καταδρόσισον.

Τὰ ἅρματα ἀπάτης, ἅρμα Σοφέ, γεγονὼς Θεοῦ Λόγου, ἐλέπτυνας εἰδωλικῶν ἐν Αἰθιοπίᾳ ἔξω Ναῶν, καὶ διὰ ξύλου ἔδραμες Ματθία Ἀπόστολε πρὸς Χριστόν· διὸ σε ἱκετεύω, Ναόν με τῆς Τριάδος τῆς Παναγίας, Μάκαρ, ποίησον.

Χορὲ δωδεκασύνθετε μαθητῶν, δωδεκάφωτε κύκλε οὐράνιε ζωδιακέ, λύρα δωδεκάχορδε λιγυρά, πηγὴ ἡ δωδεκάκρουνος, ἄμπελε κυπρίζουσα εὐθαλής, δωδεκακληματοῦσα τὸν ὕμνον τοῦτον δέχου, καὶ σωτηρίας με ἀξίωσον. Θεοτοκίον·

Πηγὴ πασῶν χαρίτων ὁ σὸς Υἱός, σὺ δὲ Μήτηρ Θεοῦ τούτων θάλασσα, οἱ δὲ κλεινοὶ Μῦσται καὶ Ἀπόστολοι ἀληθῶς, ῥύακες τούτων πέλουσι, καὶ ὥσπερ ἀέναοι ποταμοί· διὸ ὁμοῦ πηγή τε, θάλασσα ποταμοί τε, ἐκεῖ σκηνῶσαί με ἀξίωσον.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Καὶ τὰ παρόντα Μεγαλυνάρια.

www.tezaurliturgic.ro



Πέτρον Παῦλον μέλψωμεν καὶ Θωμᾶν, Σίμωνα Ἀνδρέαν Ἰωάννην καὶ Φίλιππον, Ματθαῖον Ἰούδαν, Ἰάκωβον Ματθίαν, Βαρθολομαῖον ἅμα καὶ τὸν Ἰάκωβον.

Ὑπὸ τοῦ Ἀργυρουπόλεως Σεραφείμ.

Ρύσασθε Ἀπόστολοι τοῦ Χριςοῦ, σεισμοῦ καὶ κινδύνων, ἐμπρησμοῦ τε καὶ τῶν δεινῶν νόσων, τοὺς ἐν πίστει τὴν πάντιμον τιμῶντας Μνήμην ὑμῶν, Θεόπται, ταῖς ἱκεσίαις ὑμῶν.

καὶ Θεοτοκίον Πᾶσαι τῶν Ἀγγέλων.

Τρισάγιον. εἶτα τὸ Τροπάριον Ἦχος Α΄.

Τὸ παρὸν παρὰ τοῦ Ἀργυρουπόλεως Σεραφείμ.

Ἀπόςολοι τοῦ Σωτῆρος, Δογμάτων θείων ἀῤῥαγεῖς θεμέλιοι, οἱ τῆς Οἰκουμένης ὄντως πύργοι ἀλάξευτοι, καὶ ἀνθρώπων πάντων εὐεργέται καὶ Διδάσκαλοι, τὸν Σωτῆρα Χριστὸν τὸν Θεὸν ἱκετεύσατε, εἰρήνην τῇ Ἐκκλησίᾳ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἐν τῇ ἀπολύσει ψάλλομεν τὸ παρὸν Ἦχος Β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Πάντας τοὺς γεραίροντας ὑμᾶς, καὶ ἀεὶ τιμῶντας ἐκ πόθου, θεῖοι Ἀπόστολοι, Πέτρε, Παῦλε, Φίλιππε, Θωμᾶ, Ἀνδρέα τε Ἰωαννη, Ἰάκωβε καὶ Βαρθολομαῖε, Ματθαῖε, Ἰάκωβε ὁ τοῦ Ἀλφαίου υἱός, Σίμων, καὶ Ματθία, Ἰούδα, σὺν τοῖς ἑβδομήκοντα πάσης, θλίψεως καὶ βλάβης διασώσατε.

ΤΕΛΟΣ



# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΚΑΙ ΑΘΛΗΦΟΡΟΝ

## ΚΥΡΙΑΚΗΝ·

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος· καὶ τὸ Τροπάριον Ἦχος Δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΤΗΝ ἐξανθήσασαν ἁγνείας λαμπρότητι, ὡς ἐν κοιλᾶσιν εὐωδέστατον ἴον, Κυριακὴν τὴν ἔνδοξον, Μαρτύρων καλλονὴν, πάντες ἀνυμνήσωμεν, πρὸς αὐτὴν ἐκβοῶντες, ῥῦσαι τοὺς ὑμνοῦντάς σε τῶν δεινῶν, σαῖς πρεσβείαις· ἵνα γεραίρωμεν εὐλαβῶς τὴν πανεύφημόν σου Μνήμην, Ἀθληφόρε ἀξιάγαστε.

Δόξα· Καὶ νῦν Θεοτοκίον. Οὐ σιωπήσομεν....

Ὁ Ν΄. Καὶ ὁ Κανὼν οὗ ἡ Ἀκροστιχίς.

« Ὑμνεῖ σε Μάρτυς Κυριακὴ πόθῳ. Σεραφείμ. »

ᾨδὴ Α΄. Ἦχος Πλ. Δ΄. Ὑγρὰν διοδεύσας.

Ὑμνοῦμέν σε πόθῳ, Κυριακὴ, Χριστοῦ Ἀθληφόρε, καὶ δεόμεθά σου θερμῶς, παράσχου λιταῖς σου πρὸς τὸν Κτίστην, πᾶσι τοῖς κάμνουσιν ἀνάῤῥωσιν.

Μαράνασα, Μάρτυς, σῶμα τὸ σὸν, Θεοῦ δι' ἀγάπην, κακουχίαις τε καὶ δεινοῖς· διὸ τὰ τοῦ σώματός μου πάθη, δι' ἐγκρατείας μαρᾶναι ἀξίωσον.

Νυκτὸς, Χριστοῦ Μάρτυς, καὶ σκοτασμοῦ τῆς πλάνης φυγοῦσα, ἠξιώθης θείου φωτός· κἀμὲ φωτισθῆναι ταῖς λιταῖς σου, θεοφεγγέσιν ἀκτῖσιν ἀξίωσον. Θεοτοκίον.

Ἐκένωσε, Κόρη, ὁ ποιητὴς ἐν τῇ σῇ κοιλίᾳ ἑαυτὸν, τοὺς δὲ

www.tezaurliturgic.ro



Πατρικοὺς κόλπους τὸ καθόλου μὴ κενώσας, διὰ τὸ σῶσαι ὡς Θεὸς τὸ ἀνθρώπινον.

ᾠδὴ Γ'. Σὺ εἶ τὸ στερέωμα.

Ἴασαι τὰ πάθη μου, τὰ τῆς ψυχῆς καὶ τοῦ σώματος, ταῖς πρὸς Θεὸν ἐνθέρμοις λιταῖς σου, Κυριακὴ μεγαλώνυμε.

Σύνεσίν μοι δώρησαι, τῷ ἀσυνέτῳ, Πανθαύμαστε Κυριακή, ἵνα πράττω πάντα τοῦ Θεοῦ τὰ προστάγματα.

Ἐκ σοῦ, Παμμακάριστε Κυριακή, τὴν κατάπαυσιν, νόσων δεινῶν, πόθῳ ἀναμένω, ἀπολαῦσαι πρεσβείαις σου. Θεοτοκίον.

Μαρία γενέσθαι μοι τῷ μολυθέντι τοῖς πταίσμασιν, ἵλεων νῦν τὸν ἐκ σοῦ τεχθέντα, ἀσιγήτως δυσώπησον.

ᾠδὴ Δ'. Εἰσακήκοα Κύριε...

Ἀπαστράπτουσα θαύμασιν, ἐκ τῶν προσφευγόντων σοι, Μάρτυς ἔνδοξε, τῶν παθῶν φρικτὴν σκοτόμαιναν, ἀπελαύνεις ὄντως ταῖς πρεσβείαις σου.

Ῥεῖθρα ὄντως, Πανένδοξε, ἰαμάτων ἄφθονα ἀναβλύζουσα, τοῖς τιμῶσι σὴν πανήγυριν, ῥῶσιν ταῖς λιταῖς σου νῦν χορήγησον.

Τῶν Μαρτύρων τὴν εὔκλειαν, τὴν Κυριακὴν ἀνυμνήσωμεν, οἱ Πιστοὶ καὶ ἐπαινέσωμεν, ὡς τετυχηκότες ἀπαλλαγῆς τῶν δεινῶν. Θεοτοκίον.

Ὑφαντὸν ἐκ τῆς ἄνωθεν χάριτος χιτῶνα, Παρθένε, ἔνδυσον τὸν σὸν δοῦλον, ταῖς πρεσβείαις σου, καὶ τῇ ἀφθαρσίᾳ με περίβαλε.

ᾠδὴ Ε'. Φώτισον ἡμᾶς...

Σοφισόν με νῦν τῆς σοφίας ταῖς ἐλλάμψεσι, ταῖς ὑπὲρ νοῦν καὶ ὑπὲρ ἔννοιαν, καὶ φωτὶ θείῳ, Κυριακή με φωταγώγησον.

Κύμασι δεινοῖς ἁμαρτίας βυθιζόμενον, καὶ ταῖς τρικυμίαις τῶν θλίψεων, Κυριακή με, τοῦ κινδύνου ἐλευθέρωσον.



Ὕψιστον Θεὸν ὃν ἐκήρυξας, Πανεύφημε, τοῦτον ἐκδυσώπει ὑπὲρ τοῦ δούλου σου, παθῶν θλιβόντων καὶ δεινῶν ἀπαλλαγῆναί με. Θεοτοκίον.

Ῥύπου με παθῶν, μεσιτείᾳ σου καθάρισον, καὶ τὴν σκοτισθεῖσαν ψυχήν μου φώτισον, ἵνα δοξάζω καὶ ὑμνῶ σε, Πολυύμνητε.

ᾠδὴ ΣΤ'. Ἱλάσθητί μοι.

Ἰδεῖν τὴν δόξαν Θεοῦ ἐπιποθῶν ὁ ταλαίπωρος, Κυριακή, πρὸς τὴν σὴν προσφεύγω βοήθειαν, θερμῶς σου δεόμενος, ὅπως ταῖς λιταῖς σου, ταύτης γένωμαι νῦν μέτοχος.

Ἀγάπῃ πρὸς τὸν Θεὸν πάντα ὡς φροῦδα κατέλιπες, Κυριακὴ τὰ ἐν γῇ· Σὺ οὖν καὶ τὸν δοῦλόν σου, παριδεῖν ἀξίωσον, πάντα τὰ ἡδέα, καὶ ἁγίως πολιτεύεσθαι.

Κρατῆρα, Κυριακή, θανατηφόρον κεκέρακε, ἡ Εὔα πάλαι ἐμοί· Σὺ δὲ τοῖς σοῖς αἵμασιν, οἶνόν μοι ἐνστάλαξον τῆς ἀθανασίας, τὴν καρδίαν μου εὐφραίνοντα. Θεοτοκίον.

Ἡ μόνη καταφυγὴ Χριστιανῶν σὺ βοήθησον τῷ κινδυνεύοντι νῦν, καὶ χεῖρά μοι ὄρεξον, καὶ πρὸς τὸν λιμένα με, τὸν τῆς σωτηρίας καθοδήγησον, Πανάχραντε.

Διάσωζε, Κυριακὴ Ἀθληφόρε, ταῖς πρὸς Θεόν σου πρεσβείαις, ἀπὸ ποικίλων κινδύνων τοὺς δούλους σου, καὶ ἴασαι τὰς δεινὰς ἡμῶν νόσους.

Καὶ Θεοτοκίον. Ἄχραντε.

Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β'.

Ἀνέτειλεν ἡμῖν λαμπρὰ, ὥσπερ ἥλιος, ἡ Μνήμη σου, Σεμνὴ Κυριακὴ Ἀθληφόρε, νέφη τῶν παθῶν ἀποδιώκουσα, καὶ φωταγωγοῦσα τοὺς εὐσεβῶς τῇ σῇ Εἰκόνι προσπελάζοντας, καὶ σὲ πόθῳ καὶ πίστει γεραίροντας.

Καὶ εὐθὺς τὸ Προκείμενον. Ἦχος δ'.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

www.tezaurliturgic.ro



## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα... κτλ. (Ζήτει τῇ Δ′ τῆς Γ′ Ἑβδομάδος). Δόξα. Ταῖς τῆς Ἀθληφόρου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου... Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον. Ἦχος Πλ. β′.

Οὐδεὶς καταφεύγων ἐν τῇ σκέπῃ σου, κατησχυμένος ἐκπορεύεται, Κυριακὴ Ἀθληφόρε, ἀλλ' αἰτεῖται τὴν ῥῶσιν καὶ λαμβάνει τὴν ἴασιν, παρὰ Θεοῦ ταῖς ἱκεσίαις σου.

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ.

### ᾨδὴ Ζ′. Παῖδες Ἑβραίων...

Πάντων δεινῶν ἀῤῥωστημάτων, τὰ ἰάματα λαμβάνομεν ἀφθόνως, οἱ πιστῶς τῇ θερμῇ προστρέχοντές σοι σκέπῃ, Κυριακὴ Πανένδοξε, ταῖς ἐνθέοις σου πρεσβείαις.

Ὄμβρους παρέχεις ἰαμάτων, καταπαύουσα τὸ πῦρ ἀῤῥωστημάτων, καὶ Πιστοὺς σὺ ποιεῖς ὑμνεῖν ἀδιαλείπτως· εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θέσει, ὦ Μάρτυς, θεουμένη, ὡς ἐγγίζουσα τῷ θρόνῳ τοῦ Ὑψίστου, ὑπὲρ πάντων ἡμῶν τῶν σὲ ἀνευφημούντων, ὑμνῳδιῶν ἐν κάλλεσι, τὸν Θεὸν ἀεὶ δυσώπει. Θεοτοκίον.

Ὥσπερ ὁ Ἄσωτος, Μαρία, νῦν προχέω τὰ δάκρυα ἀφθόνως· ὡς Τελώνης ἀεὶ ἱλάσθητι κραυγάζω· σῶσόν με τοίνυν, Δέσποινα, Μητρικαῖς σου ἱκεσίαις.

### ᾨδὴ Η′. Τὸν Βασιλέα.

Σὺ τῶν αἱμάτων τοῖς σταλαγμοῖς σου, Παρθένε, ἀποξήρανον βυθὸν ἁμαρτίας, καὶ χορήγει ῥῶσιν τοῖς κάμνουσι, λιταῖς σου.

Εὔχου Κυρίῳ, Κυριακὴ Ἀθληφόρε, ὑπὲρ πάντων τῶν σοὶ προσφευγόντων, καὶ ῥύου κινδύνων, αὐτοὺς σαῖς ἱκεσίαις.

Ῥῦσαι σὸν δοῦλον, Κυριακὴ Ἀθληφόρε, τὸν τῇ σκέπῃ τῇ σῇ



προσελθόντα, νόσων ὀλεθρίων καὶ θλίψεων λιταῖς σου.

Θεοτοκίον.

Ἁγνὴ Παρθένε, ἐκ κατωτάτου βυθοῦ με ἀπογνώσεως ῥῦσαι, καὶ πρὸς ὅρμον μετανοίας βίον, ἴθυνον τοῦ σοῦ δούλου.

### ᾨδὴ Θ′. Κυρίως Θεοτόκον...

Φωτὶ τῷ ἀπροσίτῳ ἐντρυφῶσα, θεόφρον, τῆς ἁμαρτίας ἀχλὺν τὴν κακόζοφον, ἐκ τῶν σῶν δούλων λιταῖς σου νῦν διασκέδασον.

Εὐφρόσυνον ἡμέραν ἄγει νῦν ἡ Κτίσις, Κυριακή, τὴν σὴν Μνήμην γεραίρουσα, καὶ εἰρηναίαν ἐκ τῶν λιτῶν σου κατάστασιν ἀναμένουσα.

Ἴασιν ταχίστην δώρησαι λιταῖς σου, Κυριακὴ Ἀθληφόρε, καὶ φώτισον τὸν σκοτεινὸν ἁμαρτίαις νοῦν μου, Πανένδοξε.

Θεοτοκίον.

Μετὰ Θεόν, Παρθένε, ἄμαχον προστάτιν, καὶ ἀντιλήπτορα μέγιστον ἔχων σε, κράζω σοι σῶσον τὸν δοῦλόν σου Ἄχραντε.

Τὸ, Ἄξιόν ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Ἔπιδε ἐξ ὕψους θείου, Χριστοῦ Νύμφη στεφηφόρε, καὶ ἐπίσκεψαι τοὺς πιστῶς σὲ ἀνευφημοῦντας, καὶ θείαις σου πρεσβείαις, νόσων παντοίων ῥῦσαι καὶ πάσης θλίψεως.

Τὸν Χριστὸν ποθήσασα ἀληθῶς ἔσπευσας τεθνᾶναι καὶ θυσίαν προσενεγκεῖν, σεαυτὴν ἁγίαν, Κυριακὴ θεόφρον· τοῦτον οὖν ἐκδυσώπει ὑπὲρ τῶν δούλων σου.

### Καὶ τό, Πᾶσαι τῶν Ἀγγέλων.

Τρισάγιον, καὶ τὸ Τροπάριον Ἦχος Δ′.

### Ταχὺ προκατάβαλε.

Ὡς βρύσις πολύκρουνος, Παρθενομάρτυς Χριστοῦ κατήρδευσας, Πάνσοφε, τὴν Ἐκκλησίαν αὐτοῦ, καὶ ἤθλησας ἄριστα· ἔσωσας τοὺς ἐν σκότει τῆς εἰδωλομανίας, αἴγλῃ τῶν σῶν θαυμά-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΤΗΤΟΡΗΣ ΠΑΠ...

www.tezaurliturgic.ro



των, Κυριακὴ Ἀθληφόρε,· διὸ ἐν παῤῥησίᾳ Χριστῷ πρέσβευε σωθῆναι ἡμᾶς.

Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύει.

Εἰς τὴν Ἀπόλυσιν ψάλλομεν τὸ παρὸν Προσόμοιον, Ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Κλάδος εὐκλεὴς, Κυριακὴ, ῥίζης διασήμου ἐδείχθης Χριςὸν κηρύξασα, φέρων τῆς ἀθλήσεως καρπὸν σωτήριον, καὶ ξηραίνων ἐν χάριτι φυτὰ ἀσεβείας· ὅθεν σε δοξάζοντες καθικετεύομεν, ῥῦσαι ταῖς πρεσβείαις σου πάσης, λύμης τῶν παθῶν ἀχλυώδους, τοὺς τῇ θείᾳ σκέπῃ σου προστρέχοντας.

ΤΕΛΟΣ.

# ΕΤΕΡΟΣ

## ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΑΝΕΥΦΗΜΟΝ ΤΟΥ ΧΡΙΣΤΟΥ
## ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΕΥΦΗΜΙΑΝ.
### ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ'.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ. . .

ΤΗΣ Πανευφήμου τοῖς Λειψάνοις προσδράμωμεν, οἱ ἐν κινδύνοις καὶ Εἰκόνι προσπέσωμεν αὐτῆς, θερμοῖς τοῖς δάκρυσι καθικετεύοντες, Εὐφημία ἔνδοξε, ταῖς θερμαῖς σου πρεσβείαις, τάχος φθάσον λύτρωσαι ἐκ δεινῶν τοὺς σοὺς δούλους, καὶ μὴ παρίδῃς δεήσεις καὶ φωνὰς, τῶν προσφυγόντων τῇ σκέπῃ σου Πάνσοφε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τῇ Θεοτόκῳ ἐκτενῶς...



Ὁ Ν'. Καὶ ὁ Κανὼν, ἔχων Ἀκροστιχίδα

« Ὕμνοις γεραίρω τὴν Πανεύφημον Κόρην. »

ᾠδὴ Α'. ἦχος πλ. Δ'. Ὑγρὰν διοδεύσας.

Ὑμνῶν σε εὐφήμως καὶ εὐσεβῶς, ταῖς θείαις σου, Μάρτυς Εὐφημία, μαρμαρυγαῖς, ὅλον καταλάμπρυνον τὸν νοῦν μου, τὸν Ἰησοῦν δυσωποῦσα, Πανεύφημε.

Μὴ παύσῃ πρεσβεύουσα τῷ Χριστῷ, Εὐφημία Μάρτυς, ὑπὲρ πάντων τῶν εὐσεβῶν, τῶν τὴν θείαν Μνήμην σου τιμώντων, καὶ προσκυνούντων Σορόν σου τὴν πάντιμον.

Νοὸς καὶ ψυχῆς μου παρεκτροπὰς, ἀπέλασον, Μάρτυς Εὐφημία, καὶ εὐσεβῶς διάγειν ἀξίωσον σὸν δοῦλον, καὶ εἰς ὁδὸν εὐνομίας ὁδήγησον.

Θεοτοκίον.

Οὐ σθένει τὴν ἄβυσσον, Μαριὰμ, ἡ γλῶσσα ἐκφράσαι τοῦ ἀνθρώπου, ἐμῶν κακῶν· ἠνόμησα γὰρ ὑπὲρ τὸ μέτρον· ἀλλ' ὡς ἐλέους σὺ Μήτηρ με οἴκτειρον.

ᾠδὴ Γ'. Σὺ εἶ τὸ στερέωμα.

Ἴσχυσας, Πανεύφημε, σθένει Θεοῦ Παντοκράτορος, Αἱρετικῶν τὸν Τόμον πατῆσαι, καὶ στηρίξαι εὐσέβειαν.

Στήριξον, Πανεύφημε, ταῖς πανιέροις πρεσβείαις σου τὴν εὐσεβῆ τῶν σῶν δούλων Πίστιν, καὶ Αἱρέσεων λύτρωσαι.

Γραπτὸν Τόμον ἐν χερσὶ, ἐνηγκαλίσω, Πανεύφημε, τὸ τηλαυγὲς τῶν ὀρθῶν δογμάτων, Εὐφημία στηρίζουσα.

Θεοτοκίον.

Ἔτεκες, Πανάσπιλε, ἀδιαφθόρως τὸν Κύριον· ὃν ἐκτενῶς δυσώπει σωθῆναι, τοὺς σὲ πόθῳ δοξάζοντας.

ᾠδὴ Δ'. Εἰσακήκοα Κύριε. . .

Ῥῦσαι, ὦ Καλλιπάρθενε, τὸν σοὶ προσδραμόντα οἰκτρὸν οἰκέτην σου ἐξ Αἱρέσεων καὶ ςήριξον ταῖς λιταῖς σου, Μάρτυς, πρὸς εὐσέβειαν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

www.tezaurliturgic.ro



Αμνὰς εἶ Θεοῦ ἄσπιλος, ἄσπιλον κἀμὲ γενέσθαι ἀξίωσον, Εὐφημία ταῖς πρεσβείαις σου, καὶ τῇ σωφροσύνῃ εὐωδίασον.

Ιατρείας ἑκάστοτε βρύουσα ἐκπλύνεις, Πανεύφημε, νοσημάτων μου τὸν βόρβορον, ὡς Νύμφη Ὑψίστου ἀδιάφθορος.

Θεοτοκίον.

Ρεῖθρα, Κόρη δακρύων μοι τῶν πνευματικῶν παράσχου, τὸν βόρβορον ἵνα πλύνω τῶν πταισμάτων μου, καὶ πρὸς ὕδωρ ἴθυνον ἀνέσεως.

## ᾠδὴ Ε΄. Φώτισον ἡμᾶς.

Ωφθης ἀληθῶς, Εὐφημία Καλλιπάρθενε, ῥύστης τοῦ Χριςοῦ δογμάτων τῶν εὐσεβῶν, ἐν οἷς σοὺς δούλους ἀεὶ διατήρησον.

Τῶν Αἱρετικῶν καταισχύνασα τὴν ἔπαρσιν, δόγματα τὰ θεῖα τοῦ Ἰησοῦ, ἐναγκαλισθεῖσα, Εὐφημία, διέσωσας.

Η τῶν εὐσεβῶν προστασία καὶ βοήθεια, πάντας τοὺς τιμῶντάς σε, Καλλιπάρθενε, εὐσεβῶς τὸν βίον διάγειν ἀξίωσον.

Θεοτοκίον.

Νεῦσον ταῖς ἐμοῦ τοῦ σοῦ δούλου, Κόρη ἄσπιλε, ταῖς οἰκτραῖς δεήσεσι, καὶ παράσχου μοι, ἁμαρτιῶν μου τελείαν ἄφεσιν δέομαι.

## ᾠδὴ ΣΤ΄. Ἱλάσθητί μοι Σωτήρ.

Παρθένος ὡς ἀληθῶς καὶ Νύμφη τοῦ Παντοκράτορος σὺ γεγονυῖα, Σεμνή, κἀμὲ τὸν οἰκέτην σου παρθενίας πλήρωσον τοῖς ἐνθέοις ἔργοις, Εὐφημία Καλλιπάρθενε.

Αμίαντος τῷ Χριστῷ καθαρμοσθεῖσα, θεόσοφε, καὶ παραδοῦσα αὐτῷ ψυχήν σου τὴν ἄμωμον, σοὺς δούλους ἀξίωσον ἀμιάντους μεῖναι, ἐκ τῆς λώβης τῶν αἱρέσεων.

Νῦν προσκυνοῦντες πιστῶς, τὰ λείψανά σου Πανεύφημε, δεόμεθα ἐκτενῶς, τυχεῖν ταῖς πρεσβείαις σου, πταισμάτων ἀφέσεως, καὶ ῥυσθῆναι νόσων καὶ δεινῶν τοῦ πολεμήτορος.

Θεοτοκίον.



Εν ὥρᾳ τῇ φοβερᾷ καὶ τῇ ἡμέρᾳ ἐτάσεως συναῤῥωγός μοι γενοῦ, Παρθένε ἀμόλυντε, καὶ ῥῦσαι γεέννης με, καὶ τῆς καταδίκης τῆς δικαίας τότ' ἐξάρπασον.

Πανεύφημε Εὐφημία Χριστοῦ τοῦ Σωτῆρος Μάρτυς καὶ Νύμφη, μὴ διαλίπῃς αὐτῷ πρεσβεύειν ἑκάστοτε, τοῦ ῥυσθῆναι ἡμᾶς παντοίας Αἱρέσεως.

Καὶ Θεοτοκίον Ἄχραντε. . .

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β΄.

Σοῦ Καλλιμάρτυς Εὐφημία, τὸ πολύαθλον Σκῆνος ἐπὶ γῆς ἡμεῖς πλουτοῦντες, καὶ εὐσεβῶς αὐτῷ προσπελάζοντες, ἰαμάτων λαμβάνομεν τὴν χάριν, ταῖς θείαις πρεσβείαις σου, παθῶν καὶ δαιμόνων τὴν ἀπολύτρωσιν καὶ αἱρέσεων τὴν κατάπαυσιν, ὑμνοῦντες καὶ δοξάζοντες, τὸν σὲ δοξάσαντα Κύριον.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δ΄.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ ἠρώτα τις τῶν Φαρισαίων τὸν Ἰησοῦν, ἵνα φάγῃ μετ' αὐτοῦ. . . κτλ. (Ζήτει τῇ Β΄ τῆς Δ΄ Ἑβδομ.)

Ταῖς τῆς Πανευφήμου λιταῖς, ὦ Πανοικτίρμον, δώρησαι τῷ λαῷ σου ῥῶσίν τε καὶ εἰρήνην.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου εὐχαῖς, Πανελεῆμον, ἀπάλλαξόν με νόσων καὶ θλίψεων παντοίων.

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον

## Ἦχος Πλ. Β΄. Ὅλην ἀποθέμενοι.

Νύμφην τὴν Πανεύφημον τοῦ Ποιητοῦ τῶν ἁπάντων, Εὐφημίαν Μάρτυρα, πίστει ἱκετεύσωμεν ἀνακράζοντες· ὦ Καλλιπάρθενε, μὴ παύσῃ πρεσβεύειν τῷ Σωτῆρι καὶ Νυμφίῳ σου ὑπὲρ τῶν δούλων σου, πάσης περιςάσεως ῥύσασθαι ἡμᾶς, καὶ ἐξ αἱρέσεων, καὶ κατὰ ἐχθρῶν καθοπλίσασθαι· ἵνα εὐφημῶμεν σωζόμενοι ἐν

www.tezaurliturgic.ro



ὕμνοις τὴν σεπτὴν καὶ ἀεισέβαστον Μνήμην σου καὶ τὰ κατορθώματα.

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου, κτλ.

## ᾨδὴ Ζ'. Παῖδες Ἑβραίων.

Ὕμνοις γεραίρομέν σε, Μάρτυς, δι' ἧς δέδοται χαρὰ τοῖς Ὀρθοδόξοις, ὡς τὸν Τόμον αὐτῶν ἐν ταῖς χερσὶ λαβοῦσα, καὶ δόγματα κρατύνασα τὰ ἐν τούτῳ εὐσεβείας.

Φλέξον ἀκάνθας, Εὐφημία, τῶν αἱρέσεων πυρὶ τῆς εὐσεβείας, καὶ τὸ δόγμα ὃ σὺ ἐκύρωσας, πρεσβείαις ταῖς σαῖς νῦν διατήρησον, ἐν ἡμῖν τοῖς σὲ ὑμνοῦσιν.

Ἤθλησας, Μάρτυς Εὐφημία, τοῦ σταδίου ἐν μέσῳ μετ' ἀνδρείας, καὶ ἀνῆλθες πρὸς ὃν ἐπόθης σου Νυμφίον, ὑπὲρ ἡμῶν πρεσβεύουσα, τὸ σὸν Σκῆνος προσκυνούντων. Θεοτοκίον.

Μόνος παρώργησα ὁ τάλας, τὰ σὰ σπλάγχνα, Μαρία, ἐν ἀνθρώποις, καὶ χρηστότητα σὴν ἐπίκρανα ἀφρόνως· διὸ σὸν δοῦλον οἴκτειρον φιλευσπλάγχνως, Θεοτόκε.

## ᾨδὴ Η'. Τὸν Βασιλέα.

Ὅρον ὡς πάλαι τὸν εὐσεβῆ, Εὐφημία, σὺ ἐκράτυνας τῶν θείων δογμάτων, οὕτω προσκυρώσοις εἴθε καὶ νῦν τοιοῦτον.

Νόμον τὸν θεῖον, ὡς Νομοφύλαξ ἡ Μάρτυς, τῶν ὀρθῶν δογμάτων δεξαμένη, ἄτρωτον φυλάττει τὴν Πίστιν εἰς αἰῶνας.

Καρτερικῶς τὰς βασάνους ἡ Μάρτυς ἐνεγκοῦσα μετ' Ἀγγέλων χορεύει, ὑπὲρ ἡμῶν πρεσβείας προσάγουσα Κυρίῳ. Θεοτοκίον.

Ὅλος ὁ βίος μου πονηρός ἐστι, Κόρη, καὶ ἡ ψυχή μου ἀνάπλεως βορβόρου· ἐλέησόν με μόνη Χριστιανῶν προστάτις.

## ᾨδὴ Θ'. Κυρίως Θεοτόκον.

Ῥυσθέντες, Εὐφημία, τῇ σῇ προστασίᾳ, τῆς τῶν αἱρέσεων οἱ δοῦλοί σου, πιστῶς τὰ θεῖά σου Λείψανα ἀσπαζόμεθα.



Ἡ τεθνεῶσα Κόρη κατέχουσα ὡς ζῶσα, τῆς εὐσεβείας τὸν ὅρον ἀνόθευτον, διαφυλάττει τὴν Πίστιν ἡμῶν ἀκράδαντον.

Νῦν Μάρτυς Εὐφημία, τὴν λάρνακα μύρου τῶν σῶν Λειψάνων πληροῦσα ἀλάβαστρον, εὐωδιάζεις καρδίας τῶν ἀνυμνούντων σε. Θεοτοκίον.

Ναμάτων ζωηρρύτων, διψῶντα, Παρθένε τὸν σὸν οἰκέτην με κόρεσον δέομαι· Σὺ γὰρ πηγὴ ζωηρρύτων ὑδάτων, Πάναγνε.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Καὶ τὰ παρόντα Μεγαλυνάρια.

Χαίροις Εὐφημία πανευκλεής, χαίροις εὐσεβείας ἀνακήρυξις ἀληθής, χαίροις ἡ πρεσβείας προσάγουσα Κυρίῳ, ὑπὲρ ἡμῶν τῶν πίστει ἀνευφημούντων σε.

Δεῦτε φιλομάρτυρες εὐλαβῶς, τὴν ἐν Ἀθληφόροις καὶ Παρθένοις θαυματουργόν, τὴν ἀξιωθεῖσαν Νύμφην Χριστοῦ γενέσθαι, τὴν θείαν Εὐφημίαν πάντες τιμήσωμεν.

Ἄγομεν οἱ δοῦλοί σου ἑορτήν, σήμερον ὦ Μάρτυς, Εὐφημία πανευκλεής, ὅτι τῶν Πατέρων πεπίστευσαι τὸν Τόμον, φυλάξασα τὴν Πίστιν ἀπαρασάλευτον.

Χαίροις Νύμφη ἄσπιλε τοῦ Χριστοῦ, Εὐφημία Μάρτυς, εὐσεβείας χαίροις τιμή, δόξα Χαλκηδόνος καὶ κράτος Ὀρθοδόξων, πάντων δεινῶν δεόμεθα, ἡμᾶς λύτρωσαι.

καὶ Θεοτοκίον **Πᾶσαι τῶν Ἀγγέλων.**

Τρισάγιον. εἶτα τὸ Τροπάριον Ἦχος Γ'.

Λίαν εὔφρανας τοὺς Ὀρθοδόξους, καὶ κατῄσχυνας τοὺς κακοδόξους, Εὐφημία τοῦ Χριστοῦ Καλλιπάρθενε· τῆς γὰρ τετάρτης Συνόδου ἐκύρωσας, ἃ οἱ Πατέρες καλῶς ἐδογμάτισαν. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ὁ Ἱερεὺς ποιεῖ ἐκτενῆ, καὶ ἀπόλυσιν, καθ' ἣν ψάλλομεν τὸ παρὸν Προσόμοιον.

Ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν...

www.tezaurliturgic.ro



Λόγου τοῦ τεχθέντος ἐπὶ γῆς, Νύμφη ἐκλεκτὴ Εὐφημία σὺ ἀναδέδειξε, λαμπάδα κατέχουσα ἐνθέων πράξεων, καὶ τῆς θείας Ἀθλήσεως φαιδρῶν λαμπηδόνων· ὅθεν τὴν Πανένδοξον Μνήμην σου σέβομεν· φρούρει ἱκετεύομεν σκέπε, ταῖς πρὸς τὸν Σωτῆρα λιταῖς σου, ἡμᾶς τοὺς τιμῶντάς σε καὶ δοξάζοντας.

ΤΕΛΟΣ.

# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

# ΜΑΡΙΝΑΝ·

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τόν, Εὐλογητόν, τό, Κύριε εἰσάκουσον. Εἶτα τό, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ'.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ...

ΤΗΝ Ἀθληφόρον καὶ Παρθένον Μαρίναν, τὴν δι' ἁγνείας τὴν ψυχὴν ὡραΐσασαν, ἀνευφημοῦντες κράξωμεν ἐκ μέσης ψυχῆς· Μάρτυς ἀξιάγαστε, ταῖς πρεσβείαις σου ῥῦσαι, πάντας τοὺς τιμῶντάς σε, τοῦ λιμοῦ καὶ λοιμοῦ τε καὶ πάσης ἄλλης βλάβης τοῦ ἐχθροῦ, ὅπως ὑμνῶμεν ἐνθέως τὴν Μνήμην σου.

Δόξα. καὶ Νῦν Θεοτοκίον. Τῇ Θεοτόκῳ....

Ὁ Ν'. καὶ ὁ κανών. Ἦχος πλ. Δ'. ἔχων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις ΣΕΡΑΦΕΙΜ.

ᾨδὴ Α'. Ἦχος πλ. Δ'. Ὑγρὰν διοδεύσας.

Σκιρτῶσα, Μαρίνα, ἐν οὐρανῷ, καὶ τῶν τοῦ ὑψίστου πληρουμένη μαρμαρυγῶν, φώτισον τὸν νοῦν μου σαῖς πρεσβείαις, καὶ σκοτασμοῦ τῶν παθῶν με ἀπάλλαξον.



Θερμῶς ἱκετεύω σε ὁ οἰκτρός, ταῖς σαῖς ἱκεσίαις, ὦ Μαρίνα Μάρτυς Χριστοῦ, δυσχερῶν τοῦ βίου λύτρωσαί με, καὶ τῶν παθῶν μου τὸν τάραχον κόπασον.

Μέγα τὸ κατόρθωμά σου, Σεμνή· δράκοντα γὰρ μέγαν ἐταπείνωσας εὐθαρσῶς· κἀμοὶ ὅθεν δώρησαι, Μαρίνα, περιφρονῆσαι αὐτοῦ τὰ σοφίσματα. Θεοτοκίον.

Σὺ εἶ, Παρθένε ἄσπιλε, τῆς ἐμῆς διανοίας θάῤῥος, καὶ ἐλπίς μου τῆς ταπεινῆς, ψυχῆς καὶ καρδίας ταλαιπώρου, σὺ εἶ τὸ φῶς, ἡ ζωὴ καὶ ἀνάστασις.

ᾨδὴ Γ'. Σὺ εἶ τὸ στερέωμα.

Χαίρουσα, Πανόλβιε, ἐν Οὐρανοῖς σὺν τοῖς Μάρτυσι, πάντας ἡμᾶς φρούρησον εὐχαῖς σου, καὶ παθῶν ἐλευθέρωσον.

Σκέπην τὴν Εἰκόνα σου, Σοφὴ Μαρίνα, οἰόμενοι, δαιμονικὰς φεύγομεν παγίδας, καὶ δεινῶν ἐκλυτρούμεθα.

Ὕμνον χαριστήριον ὁ σὸς οἰκέτης προσφέρω σοι, διασωθεὶς δεινῆς ἀσθενείας, ὦ Μαρίνα, πρεσβείαις σου. Θεοτοκίον.

Ἔχω σε, Πανάσπιλε, βίου προστάτιν καὶ τεῖχος ἄῤῥηκτον· διὸ δεινῶν τοῦ ματαίου βίου, οὐ πτοοῦμαι τὴν ἔφοδον.

ᾨδὴ Δ'. Εἰσακήκοα Κύριε.

Ἐντρυφῶσα, Πανένδοξε, καὶ ἐνηδομένη θείαις λαμπρότησι, τῶν τιμώντων σε μνημόνευε, καὶ ἐκ νόσων ῥύου, ταῖς πρεσβείαις σου.

Τῶν ἁγίων αἱμάτων σου οἱ κρουνοί, Μαρίνα, κατέσβεσαν, τὴν δεινὴν παθῶν μου φλόγωσιν καὶ εἰς ὑγιείαν με ὁδήγησαν.

Σταλαγμοῖς τῶν αἱμάτων σου, πᾶσαν ἀθεΐας πυρὰν κατέσβεσας καὶ τῶν σὲ τιμώντων ἤρδευσας τὰς ψυχάς, Μαρίνα, Θεοδόξαστε. Θεοτοκίον.

Ῥόδον σὺ τὸ ἀμάραντον, ὦ Παρθένε μόνη βλαστήσασα ταῖς πρεσβείαις σου περίσωζε, τοὺς προσρέχοντάς σοι, Μητροπάρθενε.

www.tezaurliturgic.ro



ᾨδὴ Ε΄. Φώτισον ἡμᾶς.

Φώτισον ἡμᾶς τοὺς τιμῶντάς σε, Θεόπνευστε, φωτὶ τῷ μεγάλῳ νῦν προσεγγίζουσα, καὶ φωτοφόρους τὰς ψυχὰς ἡμῶν ἀπέργασαι.

Ρεύμασι σεπτοῖς τῶν αἱμάτων σου κατάσβεσον πῦρ τὸ τῆς ἀπάτης καὶ ξήρανον ῥοῦν, τῆς δυσσεβῶν τυραννίας, Μαρίνα Πάνσεμνε.

Θείαις καλλοναῖς τοῦ Νυμφίου σου, ἀοίδιμε, ἐνηδομένη τῶν ὑμνούντων σε, φωτὸς τοῦ θείου τὰς ψυχὰς εὐχαῖς σου ἔμπλησον.
Θεοτοκίον.

Ἄχραντε Σεμνή, θείῳ ὕδατί με ῥάντισον, καὶ ταῖς λιβάσι τοῦ ἐλέους σου, σταγόνας δίδου τῶν δακρύων ὑετίζειν με.

ᾨδὴ ΣΤ΄. Ἱλάσθητί μοι Σωτήρ.

Ἐλήλυθε φωταυγής, Σεμνὴ ἡ Μνήμη σου σήμερον, φωτίζουσα τοὺς πιςῶς ἐν ταύτῃ τιμῶντάς σε, καὶ σκότος διώκουσα, παθῶν ἀνιάτων, καὶ δαιμόνων ταῖς πρεσβείαις σου.

Στεφάνῳ παρθενικῷ, Χριστός, Μαρίνα, σὲ ἔστεψεν, ὡς καθαρὰν καὶ ἁγνήν, καὶ χορῷ Παρθένων σε δεόντως ἐσκήνωσε· διὸ ὑπὲρ πάντων ἡμῶν τοῦτον καθικέτευε.

Ὑμνοῦσα σὺ τὸν Θεὸν φωναῖς ἀπαύστοις, μνημόνευε ἡμῶν τῶν ἁμαρτωλῶν, Μαρίνα Πανένδοξε, ῥυσθῆναι ἐκ θλίψεως, λοιμικῆς τε νόσου, καὶ δεινῶν τοῦ πολεμήτορος. Θεοτοκίον.

Φωνῇ Ἀρχαγγελικῇ Θεόν, Μαρία, ἐγέννησας, ὃν ἐξιλέωσαι νῦν, ἡμῖν ὡς ἰσχύουσα, τοῖς πίστει κραυγάζουσι, δωρηθῆναι λύσιν τῶν πταισμάτων, Παναμώμητε.

Διάσωσον ἀπὸ κινδύνων, Μαρίνα, ταῖς σαῖς πρεσβείαις, τοὺς ἐν πίστει εἰλικρινεῖ πρὸς σὲ καταφεύγοντας, καὶ ἴασαι τὰ πολλὰ ἡμῶν πάθη.

Καὶ Θεοτοκίον. Ἄχραντε.



Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β΄.

Νύμφη ἐκλεκτὴ τοῦ Σωτῆρος, Μαρίνα ἔνδοξε, τὰς σειρὰς τῶν πολλῶν μου πταισμάτων διάῤῥηξον, παθῶν φθορᾶς καὶ κινδύνων ῥῦσαι, καὶ τὴν ἀχλὺν τῶν νόσων μου διασκέδασον, ταῖς πρὸς Θεὸν λιταῖς σου, Παναοίδιμε.

Καὶ εὐθὺς τὸ Προκείμενον. ἦχος, δ΄.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.
Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ· προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα Μαθητὰς αὐτοῦ. . . κτλ. (Ζήτει τῇ Ζ΄ τῆς Ζ΄ Ἑβδομάδος).
Δόξα. Ταῖς τῆς Ἀθληφόρου. . . Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. . .
Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον.

Ἦχος Πλ. β΄. Ὅλην ἀποθέμενοι...

Μαρίνα Πανένδοξε, τῶν Ἀθληφόρων τὸ κλέος, σὺν Παρθένων τάγμασι καὶ χοροῖς Μαρτύρων, τοὺς ἐκτελοῦντάς σου πίςει τὴν Κοίμησιν καὶ τὴν θείαν Μνήμην, καὶ τῇ σκέπῃ προσπελάζοντας τῇ σῇ, Πανεύφημε, σῶζε τῷ Κυρίῳ πρεσβεύουσα, καὶ πᾶσαν νόσον ἴασαι, καὶ τῶν ψυχικῶν ἐλευθέρωσον δεινῶν ἀλγηδόνων, καὶ ῥῦσαι ἐκ κινδύνων τοῦ ἐχθροῦ, ὡς παῤῥησίαν πρὸς Κύριον ἔχουσα, Θεόσοφε.

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ.

ᾨδὴ Ζ΄. Παῖδες Ἑβραίων...

Ὄμβροις τῶν σῶν αἱμάτων ῥεῖθρα, ἀπεξήρανας εἰδώλων φλυαρίας· ἐπομβρίζεις δὲ νῦν ἰάματα παντοῖα, Μάρτυς Μαρίνα, παύουσα, πῦρ δεινῶν νόσων παντοίων.

Μάρτυς Μαρίνα, τῷ Ὑψίστῳ στεφηφόρος ἀεὶ παρισταμένη, ὑπὲρ πάντων ἡμῶν τῶν σὲ ὑμνολογούντων, διηνεκῶς ἱκέτευε, τοῦ ῥυσθῆναι ἐκ κινδύνων.

Πᾶσι πηγάζει, ὦ Μαρίνα, ποταμοὺς ἰαμάτων ἡ Εἰκών σου,

www.tezaurliturgic.ro



τὰς ὀδύνας ἀεὶ ἐξαίροντας σωμάτων, καὶ τὰς ψυχὰς δροσίζοντας, καὶ πληροῦντας θυμηδίας. Θεοτοκίον.

Επαινον γλώσσης ἐξ ἀνάγνου τῇ Πανάγνῳ σοι προσφέρω, Θεοτόκε, ἐναγῶν λογισμῶν ῥυσθῆναι δυσωπῶν σε, καὶ μολυσμῶν τοῦ σώματος, ὦ Ἀμόλυντε Κυρία.

ᾨδὴ Η΄. Τὸν Βασιλέα.

Τοὺς τὴν σὴν Μνήμην τὴν φωτοφόρον τιμῶντας, ἀπὸ πάσης ῥῦσαι σαῖς πρεσβείαις, νόσου, ὦ Μαρίνα, ἵνα σε μακαρίζω.

Τῶν ἰαμάτων χάριν λαβοῦσα, Μαρίνα, ἀπελαύνεις νόσους ἀνιάτους, ἐκ τῶν σὲ τιμώντων καὶ πόθῳ γεραιρόντων.

Αποκαθαίρει μολυσμοὺς παθημάτων, ἡ Εἰκών σου τῶν πόθῳ γεραιρόντων Μνήμην σου τὴν θείαν, Μαρίνα Ἀθληφόρε. Θεοτοκίον.

Ιωθεῖσάν μου τὴν ψυχὴν ἁμαρτίαις, δραστικῷ φαρμάκῳ σῆς πρεσβείας, ἴασαι, Παρθένε, ἐλπὶς τῶν σὲ ὑμνούντων.

ᾨδὴ Θ΄. Κυρίως Θεοτόκον. . .

Θεώσεως τυχοῦσα, καὶ φωτὶ τρυφῶσα τῷ Οὐρανίῳ, Μαρίνα Θεολήπτε, τοὺς σὲ ὑμνοῦντας λιταῖς σου, δεινῶν ἀπάλλαξον.

Μαρίνα δωρηθῆναι, πᾶσιν Ὀρθοδόξοις, ἀπαλλαγὴν δεινῶν νόσων καὶ θλίψεων, Χριστὸν δυσώπει, καὶ ῥῶσιν ψυχῆς καὶ σώματος.

Μαρίνα Θεοῦ δόξαν ἐνοπτριζομένη, ὑπὲρ τῶν σὲ εὐφημούντων αὐτὸν δυσώπησον, τοῦ μετασχεῖν θείας δόξης τε καὶ λαμπρότητος. Θεοτοκίον.

Μαρία Θεοτόκε, σὲ ὑμνολογοῦμεν, ὅτι κινδύνων καὶ νόσων λυτροῦσαι ἡμᾶς, διηνεκῶς τὸν σὸν Τόκον καθικετεύουσα.

Το, Ἄξιον ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Τὴν ἄμωμον Νύμφην τοῦ Ἰησοῦ, Μαρίναν τὴν θείαν, ἱκετεύσωμεν οἱ Πισοὶ, βοῶντες ῥῦσαι νόσων καὶ δεινῶν, σαῖς πρεσβείαις, ἡμᾶς τοὺς ἐκτελοῦντας τὴν θείαν Μνήμην σου.



Μὴ παύσῃ, Μαρίνα, τοῦ Ποιητοῦ, θερμῶς δεομένη, ὑπὲρ πάντων τῶν εὐσεβῶς, σὲ μακαριζόντων ὡς Μάρτυρα Κυρίου, καὶ πόθῳ γεραιρόντων τὴν θείαν Μνήμην σου.

Καὶ τὸ, Πᾶσαι τῶν Ἀγγέλων.

Τρισάγιον, καὶ τὸ Τροπάριον Ἦχος Πλ. Α΄.

Τὸν Συνάναρχον Λόγον. . .

Τοῦ ἐχθροῦ τὰς ἐνέδρας ῥύμῃ διέφυγες, καὶ αὐτῷ προσπλακεῖσα ὑπερηκόντισας καὶ ἐκ Θεοῦ τὴν δαψιλῆ χάριν ἀπείληφας ἀποσοβεῖν ἐκ τῶν Πισῶν τὰς νόσους τὰς λυμαινώδεις· διὸ πρέσβευε τῷ Κυρίῳ ὑπὲρ ἡμῶν, Μαρίνα ἔνδοξε.

Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύει.

Εἰς τὴν Ἀπόλυσιν ψάλλομεν τὸ παρὸν Προσόμοιον, Ἦχος Β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Σήμερον ὑμνοῦμεν εὐσεβῶς, Μάρτυς Ἀθληφόρε Μαρίνα, σοῦ τὸ ἐκνίκημα καὶ τὴν θείαν Μνήμην σου καὶ εὐκλεῆ ἑορτὴν, οἱ ὀρθῶς δογματίζοντες Τριάδα ἁγίαν, καὶ σὲ ἱκετεύομεν ῥῦσαι σοὺς δούλους δεινῶν, νόσων καὶ παντοίων κινδύνων, καὶ τῆς τοῦ ἐχθροῦ τυραννίδος, τοὺς σοὶ προσπελάζοντας, ἀοίδιμε.

ΤΕΛΟΣ.

---

# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΚΑΙ ΕΝΔΟΞΟΝ ΠΡΟΦΗΤΗΝ

## ΗΛΙΑΝ ΤΟΝ ΘΕΣΒΙΤΗΝ·

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητόν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος· καὶ τὸ Τροπάριον Ἦχος Δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΤΟΝ τῶν ἀῤῥήτων Μυστηρίων ἐπόπτην, καὶ ζηλωτὴν Θεοῦ τοῦ ζῶντος Προφήτην, ἀνευφημοῦντες κράζωμεν ἐκ βάθους ψυ-

www.tezaurliturgic.ro



χῆς, Ἠλία μεγαλώνυμε, ταῖς πρεσβείαις σου ῥῦσαι, ἐκ τῶν ἀναγκῶν ἡμᾶς καὶ παντοίων κινδύνων, καὶ πάσης ἄλλης βλάβης καὶ φθορᾶς, τοὺς προσφυγόντας Θεόπτα, τῇ σκέπῃ σου.

Δόξα. Καὶ νῦν Θεοτοκίον. Οὐ σιωπήσομεν. . . .

Ὁ Ν΄. Καὶ ὁ Κανὼν τοῦ Κυρίου Ἰωσήφ, διορθωθεὶς

Ὑπὸ τοῦ Ἀργυρουπόλεως Σεραφείμ.

οὗ ἡ Ἀκροστιχίς.

« Νέμοις Μάκαρ μοι θείαν Ἠλιοὺ χάριν. Ἰωσήφ. »

## ᾠδὴ Α΄. Ἁρματηλάτην Φαραώ.

Νενεκρωμένην τὴν ψυχήν μου ζώωσον, ὡς τὸν τῆς χήρας υἱόν, καὶ ἀρεταῖς θείαις, Μάκαρ καταλάμπρυνον, καὶ πρὸς ζωὴν ὁδήγησον, καὶ τῆς αἰωνιζούσης, τρυφῆς ἀνάδειξον μέτοχον, σοῦ κατατρυφᾷν ἐφιέμενον.

Ἐν τῷ σὲ τίκτεσθαι ὁ σὸς μεμύητης γεννήτωρ μέγιστον, ὡς ἀληθῶς θαῦμα· πῦρ γὰρ σιτιζόμενον, φλογί τε σπαργανούμενον, σὲ τεθέαται Μάκαρ· διὸ ταῖς σαῖς παρακλήσεσι, ῥῦσαί με πυρὸς αἰωνίζοντος.

Μεγαλυνθεὶς ταῖς πρὸς Θεὸν σου νεύσεσι, ζηλῶν ἐζήλωσας, ὡς ἀληθῶς Μάκαρ, τῷ Κυρίῳ πάντοτε· διό με ἐνδυνάμωσον, ζήλου θείου πλησθέντα, τὸ ἔνθεον πράττειν βούλημα, ἵνα σε γεραίρω σωζόμενος.

Θεοτοκίον.

Ὁ ὑπερούσιος Θεός, πανάμωμε, ἐκ σοῦ σεσάρκωται, καὶ δι᾽ ἡμᾶς ὤφθη, καθ᾽ ἡμᾶς ὡς ἄνθρωπος· ὃν ἐκτενῶς ἱκέτευε, ὑπὲρ πάντας ἀνθρώπους, ἡμαρτηκότα με, Πάναγνε, σῶσαι καὶ κολάσεως ῥύσασθαι.

## ᾠδὴ Γ. Οὐρανίας Ἁψῖδος. . .

Ἱερεῖς τῆς αἰσχύνης, ὡς δυσμενεῖς ἔκτεινας, ἔνδοξε Προφῆτα, τῷ θείῳ ζήλῳ σὺ πυρπολούμενος· ὅθεν κραυγάζω σοι, τῶν τῆς αἰσχύνης με ἔργων, καὶ διαιωνίζοντος πυρὸς ἐξάρπασον.

Σὲ προβάλλομαι πρέσβυν, πρὸς τὸν Θεὸν μέγιστον, σώζειν με δυνάμενον, πάσης, Μάκαρ, κακώσεως· προσεπικάμφθητι τῇ ταπεινῇ μου δεήσει, καὶ μὴ ὑπερίδῃς με παρακαλοῦντά σε.



Μεγαλύνει Θεός σε ὁ παντουργὸς, ἔνδοξε, πάλαι, Ἠλιού, δι᾽ ὀρνέου τρέφων, Προφῆτά σε, ὃν ἐκδυσώπησον, τῆς αἰωνίου τρυφῆς με καὶ φωτὸς τοῦ μέλλοντος ποιῆσαι μέτοχον.

Θεοτοκίον.

Ἀδιόδευτε πύλη, ἡ πρὸς Θεὸν φέρουσα, πύλας μετανοίας μοι, Κόρη, ἄνοιξον δέομαι, ἀποκαθαίρουσα ἁμαρτιῶν μου τὸν ῥύπον, ὄμβροις τοῦ ἐλέους σου, Θεοχαρίτωτε.

## ᾠδὴ Δ΄. Σύ μου Ἰσχὺς Κύριε. .

Κάμπτει τὸν σὸν ζῆλον Θεὸς πυρακτούμενος, καὶ πρὸς χήραν πέμπει διατρέφεσθαι, τὸν γυναικὸς, πάλαι ἀπειλῇ, Ἠλιού, φυγάδα γεγενημένον, θεσπέσιε· διό σε ἱκετεύω, τὴν ψυχήν μου πεινῶσαν, διαθρέψαι ἐνθέοις χαρίσμασιν.

Ἁμαρτιῶν νέφη δεινὰ συγκαλύπτει με, τρικυμίαι βίου με χειμάζουσι καὶ ἐπιπνέουσι χαλεπῶς, κατὰ τῆς ψυχῆς μου, τῆς πονηρίας τὰ πνεύματα· Προφῆτα θεηγόρε, κυβερνήτης γενοῦ μοι σωτηρίας πρὸς ὅρμον ἰθύνων με.

Ῥῶσιν ψυχῆς, ῥῶσιν παράσχου μοι σώματος, τὸν τὰς νόσους, πάντων ἀφαιρούμενον, ἐκδυσωπῶν, μάκαρ Ἠλιού, Κύριον τῆς δόξης· καὶ ἀβλαβῶς διατρέχειν με, τὰ σκάνδαλα τοῦ βίου κατευόδωσον, σὲ γὰρ ἀγαθόν μου προστάτην προβάλλομαι.

Θεοτοκίον.

Μετὰ πασῶν τῶν Οὐρανίων Δυνάμεων, μετὰ πάντων, Δέσποινα Πανάμωμε, τῶν Προφητῶν καὶ τῶν Ἀθλητῶν, καὶ τῶν Ἀποστόλων, καὶ τῶν Ὁσίων ἱκέτευε, τυχεῖν με σωτηρίας, τὸν πολλὰ ἁμαρτῶντα, καὶ ῥυσθῆναι μελλούσης κολάσεως.

## ᾠδὴ Ε. Ἵνα τί με ἀπώσω.

Ὀμβροτόκους νεφέλας, εἴργεις πυρακτούμενος ζήλῳ τῆς Πίστεως· ἀλλὰ δέομαί σου, Ἠλιού, ἱεραῖς μεσιτείαις σου τὴν

www.tezaurliturgic.ro



φλογμῷ τακεῖσαν τῶν ἡδονῶν ψυχήν μου, θείαις ἐπομβρίαις ἀρδεῦσαι καὶ σῶσαί με.

Ἱερεὺς δεδειγμένος τέθυκας ἀθῴοις σου χερσί, Πανόλβιε, τῶν προσοχθισμάτων, ἱερεῖς ἐνεργοῦντας τὰ ἄτοπα· ἀλλὰ δέομαί σου πάσης ἀτόπου ἁμαρτίας, ἀβλαβῆ με, Προφῆτα, συντήρησον.

Θαυμαστοῦσαι, Προφῆτα, θείαις ἐπικλήσεσι φλέγων τὰ νάματα, ἐκτελέσας πίστει· διὰ τοῦτο ἀπαύστως σου δέομαι, τῇ ἐμῇ καρδίᾳ τὸν ἱερὸν ἀνάψαι πόθον, τὰ ὑλώδη μου πάθη συμφλέγοντα.

Θεοτοκίον.

Ἐπὶ σὲ ὥσπερ ὄμβρος Λόγος καταβέβηκεν ὁ ὑπερούσιος· ὃν δυσώπει, Κόρη, ἐπομβρίσαι μοι νῦν κατανύξεως, καθαρὰς σταγόνας, ἀποπλυνούσας πάντα ῥύπον, τῶν ἀμέτρων κακῶν μου, Πανάμωμε.

## ᾨδὴ ΣΤ'. Ἱλάσθητί μοι.

Ἱλάσθητί μοι Σωτὴρ, πολλά σοι ἀφρόνως πταίσαντι, καὶ τῆς μενούσης ἐκεῖ κολάσεως λύτρωσαι, ἔχων δυσοποῦντά σε Ἠλιοὺ τὸν μέγαν καὶ τὴν ἄχραντον Μητέρα σου.

Ἁγνείας ὡς φυτουργὸς, ἁγνὸν ψυχήν με συντήρησον· ὡς ζηλωτὴς, Ἠλιοὺ, ζήλου θείου πλήρωσον τὴν ἐμὴν διάνοιαν, ὅπως τῆς κακίας, τὰς ἐφόδους ἀποκρούσωμαι.

Νηστεύεις βρώσει μιᾷ, ὁδὸν τεσσαρακονθήμερον, ἀνύων θείᾳ ῥοπῇ· διὸ ἱκετεύω σε, πάσης παραβάσεως, ἐγκρατεύεσθαί με Θεοφόρε, ἐνδυνάμωσον.

Θεοτοκίον.

Ἡ πύλη ἡ τοῦ Θεοῦ, εἰσόδου θείας ὑπάνοιξον, τῇ ταπεινῇ μου ψυχῇ, ἐν αἷς εἰσελεύσομαι, ἐξομολογούμενος, καὶ κακῶν τὴν λύσιν, Θεοτόκε ἀπολήψομαι.

Κατάσβεσον, Προφῆτα ἔνδοξε Ἠλιοὺ Θεσβῖτα, τῶν παθῶν ἡμῶν τοὺς φλογώδεις ἄνθρακας, ἰσχύϊ σῆς πρεσβείας, Θεόφρον.

Καὶ Θεοτοκίον Ἐπίβλεψον. . .

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β'.



Προφῆτα Θεοῦ Ἠλιοὺ Μεγαλώνυμε, τοὺς πόθῳ σε ἀεὶ ἀνυμνοῦντας καὶ γεραίροντας, κινδύνων τῶν ἐν βίῳ πολυειδῶν, νόσων παντοδαπῶν, καὶ πάσης τῆς ἐξ ἐχθρῶν προερχομένης θλίψεως, ῥῦσαι ταῖς ἐνθέρμοις πρεσβείαις σου, καὶ ταῖς θείαις μαρμαρυγαῖς, τὰς ψυχὰς ἡμῶν καταύγασον.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος δ'.

Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Στίχος. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. . . .

## Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ· ἐθαύμαζον οἱ ὄχλοι ἐπὶ τοῖς λόγοις τῆς χάριτος. . . . κτλ. (Ζήτει Ἰουλίου 20).

Δόξα. Ταῖς τοῦ σοῦ Προφήτου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχος. Ἐλέησόν με ὁ Θεὸς, καὶ τὸ Προσόμοιον.

## Ἦχος Πλ. Β'. Ὅλην ἀποθέμενοι.

Προφῆτα θεόσοφε, ὁ τῶν παθῶν αὐτοκράτωρ, ἐπίγειε Ἄγγελε καὶ βροτὲ οὐράνιε, σοῦ δεόμεθα. Ζηλωτὰ πρόφθασον, καὶ ῥῦσαι σκανδάλων καὶ κινδύνων τὴν ζωὴν ἡμῶν, καὶ πάσης θλίψεως, ἐχθρῶν ἀνομούντων πρεσβείαις σου, καὶ πᾶσαν νόσον δίωξον, καὶ πταισμάτων ἄφεσιν αἴτησαι, Ἠλιοὺ Θεόπτα, Προστάτα τῶν Πιστῶν καὶ Ἰατρὲ, καὶ τῆς τοῦ Ἅδου διάσωσον δεινῆς κατακρίσεως.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν λαόν σου. κτλ.

## ᾨδὴ Ζ'. Θεοῦ συγκατάβασιν.

Λαὸν ἀπολλύμενον, κατοικτειρήσας ζήλῳ τῆς Πίστεως, ἐπικλήσεσι θείαις πῦρ κατηγάγου φλογίζον, ἔνδοξε, ὅσιον θῦμα· διὸ ἱκετεύω σε, τῆς αἰωνίου φλογὸς ῥῦσαι καὶ σῶσόν με.

Ἰδεῖν κατηξίωσαι Θαβὼρ ἐν ὄρει Θεοῦ τὸ πρόσωπον· ὃν δυσώπει, Προφῆτα, τοῦ παραβλέψαι τὰς ἁμαρτίας μου, καὶ ἐν ἡμέρᾳ τῆς δίκης θεάσασθαι, ἀκαταγνώστῳ ψυχῇ, αὐτοῦ τὸ πρόσωπον.

www.tezaurliturgic.ro



Ὁδὸν πορευόμενος, τοῦ βίου πλάνας πολλὰς ὑφίσταμαι· ἀγαθέ μου προστάτα, κυβέρνησόν με τῇ προστασίᾳ σου, ἐπιστηρίζων γνώμῃ σαλευόμενον καὶ πρὸς σαρκὸς ἡδονάς, Ἠλιοὺ νεύοντα.

Θεοτοκίον.

Ὑμνῶ σε Πανύμνητε. καὶ μεγαλύνω Θεοχαρίτωτε, τὴν ἁγνήν σου λοχείαν· βοήθησόν μοι βίου τοῖς κύμασι χειμαζομένῳ καὶ δίδου κατάνυξιν, τῇ ταπεινῇ μου ψυχῇ, καθαρτικὴν μολυσμῶν.

## ᾠδὴ Η΄. Ἑπταπλασίως κάμινον.

Χωρητικὸν δοχεῖόν σε θείου Πνεύματος ἔγνωμεν Ἄγγελον ἐν γῇ πῦρ ζήλου θείου πνέοντα, δυσσέβειαν τρέποντα καὶ βασιλεῖς ἐλέγχοντα, χρίοντα Προφήτας Ἠλιοῦ, καὶ αἰσχύνης συγκόπτοντα μαχαίρᾳ ἱερεῖς, διὰ τοῦτο βοῶμέν σοι, μελλούσης ἡμᾶς αἰσχύνης ῥῦσαι.

Ἅρμα πυρός σε ἔλαβεν ἀπὸ γῆς, πυρακτούμενον ζήλῳ, Ἠλιοῦ, τῷ θεϊκῷ, Θεόπνευστε· διὸ ἱκετεύω σε ἐκ τῶν ἐν γῇ ἀπάντων κακῶν, τῶν σῶν ἀρετῶν, ἐπικουφίζων τὸν νοῦν μου, τεθρίππῳ, καὶ πρὸς νύσσαν, οὐρανίαν μεφθάσαι, τὸν πάντων ἐκδυσώπει Θεὸν καὶ Βασιλέα.

Ῥήματι ζῶντι ἔκλεισας Οὐρανὸν ὑετίζοντα· ῥήματί σου νῦν πνευματικῷ διάνοιξον, τὰς πύλας μοι δέομαι τῆς μετανοίας, Ἅγιε, πέμπων τῇ ψυχῇ μου κατανύξεως ὄμβρους· καὶ σῶσόν με βοῶντα· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Τριαδικόν.

Ἰσοσθενῆ ὁμότιμον, ὁμούσιον σύνθρονον, σέβοντες Τριάδα, ἐν μιᾷ Θεότητι, Πατέρα δοξάζωμεν Υἱὸν καὶ Πνεῦμα Ἅγιον, ἄδυτον Αὐγὴν, ὁμοβασίλειον κράτος, καὶ μέλπομεν συμφώνως· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Νομοθετῶν εὐσέβειαν καὶ διδάσκων μετάνοιαν, ὁ Ἐμμανουὴλ ἐκ σοῦ τεχθεὶς ἐπέφανεν· ὃν νῦν ἐκδυσώπησον, Ὑπεραγία Δέσποινα, τῆς δικαιοσύνης ὑπανοῖξαί μοι πύλας, καὶ σῶσαί με βοῶντα· Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.



## ᾠδὴ Θ΄. Ἐξέστη ἐπὶ τούτῳ...

Ἰδεῖν ἐν λεπτοτάτῃ αὔρᾳ Θεὸν, ὡς ἰδεῖν δυνατὸν κατηξίωσαι, ἀσκητικαῖς πρότερον τὸ σῶμα διαγωγαῖς, καταλεπτύνας, ἔνδοξε· ὅθεν δυσωπῶ σε ταῖς προσευχαῖς, τὸ πάχος τοῦ νοός μου λεπτύνας μετανοίας, μαρμαρυγαῖς θείαις καταύγασον.

Ὡς πάλαι Ἰορδάνην, τῇ μηλωτῇ, διαῤῥήξας διέβης, Πανόλβιε, οὕτω κἀμοῦ τῶν ἁμαρτημάτων τῶν χαλεπῶν, τὰς διεχύσεις ξήρανον, ὄμβρους ἐπιπέμπων μου τῇ ψυχῇ, δακρύων καθεκάστην, Προφῆτα θεηγόρε, τρυφῆς χειμάῤῥουν προξενοῦντάς μοι.

Σκανδάλων τῶν ἐν βίῳ πολυειδῶν, ἀνομούντων ἐχθρῶν πάσης θλίψεως, σωματικῆς νόσου, ψυχικῆς τε παρεκτροπῆς, ταῖς προσευχαῖς σου ῥῦσαί με, ἔνδοξε Ππροφῆτα, ὡς ἀγαθὸς προστάτης μου βοῶ σοι, καὶ τῆς ἐν τῇ γεέννῃ αἰωνιζούσης κατακρίσεως

Ἡρπάγεις πρὸς τὸ ὕψος, Ἐλισσαιὲ, δισσουμένην τὴν χάριν τοῦ Πνεύματος καταλιπὼν, ἔνδοξε αἰτήσαντι Ἠλιού· μεθ' οὗ ἀπαύστως αἴτησαι, νίκην Οὐρανόθεν κατὰ παθῶν, τοῖς σὲ ἀνευφημοῦσι, καὶ πόθῳ τὴν σὴν Μνήμην περιχαρῶς πανηγυρίζουσι

Θεοτοκίον.

Φωνὰς τῶν οἰκετῶν σου ὡς ἀγαθὴ, μὴ παρίδῃς, Πανάμωμε Δέσποινα, ἀλλ' ἐκτενῶς αἴτησαι τὸν πάντων Δημιουργὸν, τοῖς εὐσεβέσιν ἄφεσιν καὶ τὴν εὐρωστίαν τὴν ψυχικὴν, δωρήσασθαι Παρθένε, καὶ θείας Βασιλείας τὴν μετουσίαν καὶ λαμπρότητα.

Τό, Ἄξιόν ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Δεῦτε τὸν πυρίπνουν καὶ ζηλωτὴν, τὸν διὰ τεθρίππου ἁρπαγέντα ἀπὸ τῆς γῆς, τῆς Χριστοῦ δευτέρας Πρόδρομον Παρουσίας, Ἠλίαν τὸν Θεσβίτην ὕμνοις τιμήσωμεν.

Χάριν ἰαμάτων παρὰ Θεοῦ, εἰλιφὼς Ἠλία, θεραπεύεις πάθ

www.tezaurliturgic.ro



δεινά· διὸ τοῖς ἐν πίστει σε ἐπικαλουμένοις, θεράπευσον τὰ πάθη ψυχῆς καὶ σώματος.

καὶ Θεοτοκίον **Πᾶσαι τῶν Ἀγγέλων.**

Τρισάγιον. εἶτα τὸ Τροπάριον Ἦχος Δ΄.

**Ο** ἔνσαρκος Ἄγγελος, τῶν προφητῶν ἡ κρηπὶς, ὁ δεύτερος Πρόδρομος τῆς παρουσίας Χριστοῦ, Ἠλίας ὁ ἔνδοξος, ἄνωθεν καταπέμψας, Ἐλισσαίῳ τὴν χάριν, νόσους ἀποδιώκει καὶ λεπροὺς καθαρίζει· διὸ καὶ τοῖς τιμῶσιν αὐτὸν βρύει ἰάματα.

Ὁ Ἱερεὺς μνημονεύει.

Ἐν τῇ ἀπολύσει ψάλλομεν τὸ παρὸν Ἦχος Β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

**Δ**εῦτε Ὀρθοδόξων ἡ πληθὺς, μέλος ἐναρμόνιον ὄντως, ψαλμικῶς ᾄσωμεν, καὶ τὸν Χριστοκήρυκα ἀνευφημήσωμεν, τὸν Οὐράνιον ἄνθρωπον Ἠλίαν τὸν θεῖον καὶ ἀναβοήσωμεν πρὸς αὐτὸν λέγοντες· πάντας τοὺς πιστῶς σου, τελοῦντας Μνήμην τὴν ἁγίαν λιταῖς σου, ῥῦσαι ἐκ παντοίων περιστάσεων.

ΤΕΛΟΣ

# ΕΤΕΡΟΣ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ

## ΦΩΚΑΝ·

### ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ΄.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ...

**Ε**Ν τῷ πανσέπτῳ καὶ ἁγίῳ Ναῷ σου προσπεφευγότες οἱ Πιστοὶ ὁμοφρόνως, ἐκλιπαροῦμέν σε, Φωκᾶ Θεόληπτε, δώρησαι τοῖς δούλοις σου εὐκραεῖς τοὺς ἀέρας, εἰρήνην τε πρεσβείαις σου



καὶ ὑγείαν τελείαν· καὶ πάσης βλάβης ῥῦσαι καὶ φθορᾶς, τοὺς προσκυνοῦντας πιστῶς τὴν Εἰκόνα σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τῇ Θεοτόκῳ ἐκτενῶς...

Ὁ Ν΄. καὶ ὁ κανών. Ἦχος πλ. Δ΄. ἔχων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις

ΣΕΡΑΦΕΙΜ.

Ὠδὴ Α΄. Ἦχος Πλ. Δ΄. Ὑγρὰν διοδεύσας.

**Φ**ωκᾶ Ἱερομάρτυς, μαρμαρυγαῖς, ἔμπλησον ψυχήν μου τὴν ἀθλίαν, τοῦ παντουργοῦ Πνεύματος, εὐχαῖς σου, ἵνα πίστει καὶ εὐλαβῶς σὴν Εἰκόνα ἀσπάζομαι.

**Α**ἴγλῃ ἐλλαμπόμενος ἐσαεὶ Θεαρχικῇ, Μάρτυς, ἐκ τοῦ ζόφου με τῶν παθῶν ἐξάρπασον καὶ ῥῦσαι σὸν οἰκέτην, Φωκᾶ θεόφρον, κινδύνων καὶ θλίψεων.

**Σ**τηρίξας τὴν καρδίαν σου νοητῇ ἐν πέτρᾳ, θεόφρον, τὴν ψυχήν μου τὴν ταπεινὴν ὁδήγησον ἐν τρίβοις τοῦ Κυρίου, καὶ πρὸς ἀγήρω ζωὴν καθοδήγησον. Θεοτοκίον.

**Σ**εμνὴ χαῖρε Παρθένε, ἡ τὸν Θεὸν ἐν γαστρὶ δεχθεῖσα τὸν ἀχώρητον, ἐκ δεινῶν αἴτησαι ῥυσθῆναι τοὺς ἐν πίστει, καὶ εὐλαβῶς ἀνυμνοῦντάς σε Πάνσεμνε.

Ὠδὴ Γ΄. Σὺ εἶ τὸ στερέωμα.

**Φ**ωκᾶν τὸν πανένδοξον πάντες πιστῶς ἱκετεύσωμεν· ῥῦσαι ἡμᾶς βοῶντας ἐκ νόσων, ταῖς ἐνθέοις πρεσβείαις σου.

**Δ**υνάμει τοῦ Πνεύματος, ἰσχὺν Βελίαρ, Φωκᾶ, κατάβαλε, καὶ τῶν δεινῶν δόλων αὐτοῦ ῥῦσαι τοὺς σὲ πόθῳ δοξάζοντας.

**Σ**θενούμενος, Πάνσεπτε, ὑπὸ τοῦ Πνεύματος, δίωξον τὰ πονηρὰ πνεύματα, λιταῖς σου, ἐκ τῶν πίστει ὑμνούντων σε. Θεοτοκίον.

Ἐλπίδα, Πανάμωμε, ἐμὴν εἰς σὲ ἀναθέμενος, δίδου μοι νῦν, ὃν ἔτεκες, Κόρη, εὐμενῆ τε καὶ ἵλεων.

www.tezaurliturgic.ro



### ᾨδὴ Δ'. Εἰσακήκοα Κύριε...

Νυσταγμῷ τοὺς καθεύδοντας πάσης ἁμαρτίας, Φωκᾶ Πανένδοξε, ἐξανάστησον πρεσβείαις σου, καὶ πρὸς μετανοίας φῶς ὁδήγησον.

Ὑπερήφανον φρύαγμα ἐκ τῶν θεραπόντων σου ἀποδίωξον, ὦ Φωκᾶ, καὶ περικόσμησον ταπεινώσει θείᾳ, ἱκεσίαις σου.

Χριστοκῆρυξ θαυμάσιος καὶ Ἱερομάρτυς ἀκαταγώνιςος χρηματίσας, τοὺς ἱκέτας σου νικητὰς ἐχθροῦ, Φωκᾶ ἀνάδειξον.

Θεοτοκίον.

Ῥᾶνον, Κόρη Πανάχραντε, ἐφ' ἡμᾶς τὰ θεῖα ἐλέη σου, καὶ ὡς μήτηρ καθικέτευε ὑπὲρ τῶν σῶν τέκνων τὸν Θεὸν ἡμῶν.

### ᾨδὴ Ε'. Φώτισον ἡμᾶς...

Πλήρης ἀληθῶς δόξης θείας, Πανᾳοίδιμε, ὢν ἐν Οὐρανοῖς καθικέτευε, τοῦ λυτρωθῆναι ἐκ κυνδύνων τοὺς ἱκέτας σου.

Μῦρον ἡ Εἰκὼν ἀναβλύζει σου ἡ πάνσεπτος, ῥεῖθρον ὥσπερεὶ Φωκᾶ ἔνδοξε καὶ ἀποπλύνει τῶν βροτῶν δυσώδη πταίσματα.

Νέκρωσον, Φωκᾶ τῆς σαρκός μου τὰ φρονήματα, καὶ φρονεῖν Οὐράνια καταξίωσον, καὶ πολιτείαν τῶν Ἀγγέλων ζῆν μοι δώρησαι.

Θεοτοκίον.

Ἄχραντε Ἁγνή, τοὺς εἰς Σὲ νῦν καταφεύγοντας, νόσου ἐξ ἁπάσης ῥῦσαι καὶ ἀπειλῆς, ἡ τὸν Σωτῆρα καὶ Θεὸν ἡμῶν γεννήσασα.

### ᾨδὴ ΣΤ'. Ἱλάσθητί μοι Σωτήρ.

Τοῦ κήτους τοῦ νοητοῦ πανολεθρίαν, Μακάριε, ἀξίωσόν με φυγεῖν· ἀγάπην δ' ἀκίβδηλον, προσευχήν, ἐγκράτειαν καὶ σώφρονα βίον, ταῖς λιταῖς σου, Φωκᾶ, δίδου μοι.

Κατεύθυνον πρὸς Θεὸν τὰ διαβήματα, ἔνδοξε, τοῦ ταπεινοῦ καὶ οἰκτροῦ δούλου σου, καὶ δώρησαι πατεῖν ἐπὶ ὄφεων καὶ σκορπίων κάρας, ταῖς ἐνθέρμοις ἱκεσίαις σου.



Συνθλάττειν μύλας, Σοφέ, τοῦ δυσμενοῦς καταξίωσον οἰκέτην σου τὸν πιστόν, καὶ τέκνον ἀνάδειξον Θεοῦ Παντοκράτορος, καὶ τρυφῆς ἀΰλου κοινωνόν, Φωκᾶ, ἀνάδειξον. Θεοτοκίον.

Φωτὶ ἐνθέῳ, Ἁγνή, τὸ πνεῦμά μου καταλάμπρυνον, καὶ ἐκ πταισμάτων δεινῶν καὶ νόσων πρεσβείαις σου Μητρικαῖς ἀπάλλαξον, ταῖς πρὸς τὸν Υἱόν σου, καὶ τὸν βίον μου κυβέρνησον.

Διάσωσον φωςὴρ τοῦ Κόσμου, Φωκᾶ Θεηγόρε, ἀπὸ κινδύνων καὶ νόσων τοὺς δούλους σου, ταῖς θείαις σου πρὸς Θεὸν ἱκεσίαις.

Καὶ Θεοτοκίον Ἄχραντε...

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Δ'.

Προστάτα τῶν Πιστῶν ἱερώτατε, καὶ τῶν ἐν θαλάσσῃ βοηθὲ ἑτοιμότατε, μὴ παρίδῃς δεητικὰς φωνὰς σῶν ἱκετῶν, ἀλλὰ πρόφθασον ὡς συμπαθὴς εἰς τὴν βοήθειαν ἡμῶν τῶν θερμῶς ἐκβοώντων σοι· παῦσον σαρκὸς τὰς νόσους, καὶ πνεύματος ἀῤῥωςίας, παρὰ Κυρίου, ὦ Φωκᾶ, τὴν χάριν δεξάμενος.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος Δ'.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει...

Στίχος. Πεφυτευμένος ἐν τῷ Οἴκῳ Κυρίου...

### Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· ταῦτα ἐντέλλομαι ὑμῖν... κτλ. (Ζήτει Ἀπριλίου 23).

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχος. Ἐλέησόν με ὁ Θεός· καὶ τὸ Προσόμοιον. Ἦχος Πλ. β'.

### Μὴ καταπιστεύσεις με.

Πλεόντων εἰδότες σε, Φωκᾶ Θεόστεπτε, πάντες βοηθὸν οἱ δοῦλοί σου, ὀρφανῶν προςάτην καὶ ἀντιλήπτορα, ἰατρὸν νοσούντων, καὶ πασχόντων ῥύστην, αἰχμαλώτων ἀπολύτρωσιν καὶ τῶν ἐν θλίψεσι χαρμονήν, Πανεύφημε, ἄληκτον, καὶ ῥύςην τῶν ἐν πάθεσι δεινοῖς καὶ κινδύνοις, Πανόσιε· Διό σοι βοῶμεν· δεήσεις νῦν προσάγαγε Θεῷ, ὅπως τῶν σῶν ἀπολαύσωμεν δωρεῶν, Θεόληπτε.

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ.

www.tezaurliturgic.ro



ᾠδὴ Ζ΄. Παῖδες Ἑβραίων...

Ρεῖθρα, αἱμάτων σου τοῖς ὄμβροις ἀπεξήρανας δαιμονικῆς ἀπάτης· καταρδεύεις δὲ νῦν τοὺς πόνους τῶν σῶν δούλων, Φωκᾶ ἀειμακάριστε, τῶν ἰάσεων τοῖς ῥείθροις.

Χαίρων, Φωκᾶ, ἐν Παραδείσῳ μετ' Ἀγγέλων καὶ πάντων τῶν Ἁγίων, τοὺς τιμῶντας πιστῶς τὴν ἔνδοξόν σου Μνήμην, εὐχαῖς σου καταξίωσον τῆς τρυφῆς τοῦ παραδείσου.

Μάρτυς Χριστοῦ Θεῷ προσάγεις τοὺς τιμῶντάς σε, Φωκᾶ, κεκαθαρμένους, ἐξ ἰλύος παθῶν, νόσων τε καὶ κινδύνων, ταῖς θείαις ἱκεσίαις σου, καὶ παντοίων ἀλγηδόνων, Θεοτοκίον.

Ἔχων σε μόνην προστασίαν καὶ ἐλπίδα ὁ δοῦλός σου, Παρθένε, τῶν σκανδάλων ἀεὶ τοῦ ὄφεως, πρεσβείαις ταῖς Μητρικαῖς σου ῥύομαι, καὶ κινδύνων ἀδοκήτων.

ᾠδὴ Η΄. Τὸν Βασιλέα.

Ἵλεων πᾶσι τοῖς πιστῶς σε ὑμνοῦσιν, ὦ Φωκᾶ, ἀπέργασαι τὸν Κτίστην, καὶ θείαις λιταῖς σου παράσχου σωτηρίαν.

Χάριτος θείας τὸν φωτισμὸν ἐν ψυχῇ σου, ὦ Φωκᾶ, δεξάμενος, ὁμίχλην τῶν ἀσθενειῶν μου, διάλυσον εὐχαῖς σου.

Τοὺς τὴν σὴν μνήμην περιχαρῶς ἐκτελοῦντας, ἱεραῖς σου, Φωκᾶ ἱκεσίαις, σῶζε ἐκ κινδύνων καὶ πάσης ἄλλης βλάβης. Θεοτοκίον.

Ἰησοῦ, Κόρη, τὸν Σωτῆρα τοῦ Κόσμου, σὺ γεννήσασα ἀῤῥήτως, τοὺς σοὺς δούλους αἴτησαι ῥυσθῆναι πυρὸς τοῦ αἰωνίου.

ᾠδὴ Θ΄. Κυρίως Θεοτόκον.

Βρύεις ἰαμάτων ποταμοὺς, θεόφρον, παύεις φλογμὸν παθημάτων τῶν δούλων σου, δαιμονικούς τε βυθίζεις δόλους, πρεσβείαις σου

Προστάτην σε πλουτοῦντες, Φωκᾶ Ἱεράρχα, μετὰ Θεὸν καὶ σωτῆρα καὶ πρόμαχον, ἐκ πάσης βλάβης ῥυόμεθα, ἱκεσίαις σου.



Πιστῶς σε μακαρίζω, Φωκᾶ Θεηγόρε, ὅτι παθῶν μου τὸν ζόφον ἐδίωξας, ὡς φωταυγὴς Ἱεράρχης, θείαις πρεσβείαις σου Θεοτοκίον.

Μαρία, ὄμβρισόν μοι ἄφεσιν πταισμάτων, καὶ ἀσθενοῦντα ἐπίσκεψαι, δέομαι, καὶ συμφοραῖς νῦν ποντούμενον ἐλευθέρωσον.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Καὶ τὰ παρόντα Μεγαλυνάρια.

Τὸν Ἱερομάρτυρα τοῦ Χριστοῦ, καὶ τῆς Ἐκκλησίας τὸν ἀστέρα τὸν φαεινὸν, Φωκᾶν, εὐφημοῦμεν, δεόμενοι ῥυσθῆναι, λιταῖς αὐτοῦ ἐνθέρμοις, νόσων καὶ θλίψεων.

Φύλαττε καὶ σκέπε ταῖς σαῖς εὐχαῖς, Φωκᾶ Θεηγόρε, ἐκ κινδύνων καὶ χαλεπῶν νόσων, τοὺς τιμῶντας τὴν ἔνδοξόν σου Μνήμην, καὶ λύτρωσαι τῶν Ἅδου πικρῶν κολάσεων.

Προστάτην σε ἔχομεν οἱ Πιστοὶ πλεόντων, καὶ πάντων τῶν νοσούντων ῥύστην θερμὸν, αἰχμαλώτων σώστην, πεινώντων τε τροφέα, καὶ χαρμονὴν ἐν λύπῃ, Φωκᾶ Πανεύφημε.

Καὶ Θεοτοκίον. Πᾶσαι τῶν Ἀγγέλων.

Τρισάγιον. εἶτα τὸ Τροπάριον Ἦχος Δ΄.

Ἀστέρα πανέκλαμπρον καὶ φωτοφόρον, Φωκᾶ, ἐν ὕψει σε ἔθετο τῆς Ἐκκλησίας Χριστὸς, θαυμάτων ταῖς λάμψεσι, πάντων τὰς διανοίας καταυγάζοντα ὄντως, μειοῦντα καὶ ὁμίχλην τῶν δεινῶν νοσημάτων, τῶν πίστει προσιόντων τῇ σκέπῃ σου, Θεόληπτε.

Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύει,

Εἶτ τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν, Ἦχος Πλ. Δ΄. πρὸς τὸ

Δέσποινα πρόσδεξαι..

Τῶν δούλων σου πρόσδεξαι τὰς δεήσεις, Πανσέβαστε, καὶ λύτρωσαι, Φωκᾶ, ἀπὸ νόσων ἡμᾶς δεινῶν καὶ θλίψεων.

ΤΕΛΟΣ.

www.tezaurliturgic.ro



# ΕΤΕΡΟΣ

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΟΣΙΟΠΑΡΘΕΝΟΜΑΡΤΥΡΑ

## ΠΑΡΑΣΚΕΥΗΝ·

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητόν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος, καὶ τὸ τροπάριον Ἦχος Δ΄.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ...

ΕΥΑΡΕΣΤΗΣΑΣΑ Θεῷ, Ἀθληφόρε, καὶ πειρασθεῖσα ὡς χρυσὸς ἐν καμίνῳ, Παρασκευὴ πανένδοξε, βασάνων πειρασμοῖς, θαύματα πηγάζεις νῦν καὶ νοσήματα παύεις, καὶ τὸν ὑπεράγαθον τοῦ Θεοῦ Θεὸν Λόγον, ὑπὲρ ἡμῶν ἀεὶ ἐκδυσωπεῖς, ὅπως αὐτοῦ τῶν δωρεῶν ἐπιτύχωμεν.

Δόξα. καὶ νῦν. Θεοτοκίον Οὐ σιωπήσομεν...

Ὁ Ν΄. Καὶ ὁ Κανών, ἔχων Ἀκροστιχίδα
« Ὕμνοις γεραίρω σε Παρασκευή. Σεραφείμ. »

### ᾠδὴ Α΄. ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.

Ὕμνων σου τὴν Μνήμην παρακαλῶ, ἔνδοξε Παρθένε, τῶν πταισμάτων μου τὰς σειράς, διάῤῥηξον τάχος ταῖς πρὸς Κτίστην τὸν Πανοικτίρμονα, πρεσβείαις σου.

Μεγίστη ἡ δύναμις, ἣν Σεμνή, ἔλαβες ἀξίως ἐκ Θεοῦ τοῦ θαυματουργεῖν· ταύτῃ οὖν χρωμένη ἤδη παῦσον, τὰ πολυχρόνια πάθη μου, δέομαι.

Νομίμως ἀθλήσασα ἐπὶ γῆς, Παρασκευὴ Μάρτυς, καὶ τὸ σέφος ἐν Οὐρανῷ σῆς ἀπολαβοῦσα καρτερίας, ὑπὲρ ἡμῶν τὸν Σωτῆρα ἱκέτευε. Θεοτοκίον.

Ὄμματι, Πανάσπιλε, ἐπ᾽ ἐμοί, ἱλέῳ σου βλέψον, καὶ ἰάτρευσον τὰ δεινὰ τοῦ σώματος πάθη, καὶ τὰς νόσους ἀποσκοράκισον, θείαις πρεσβείαις σου..



### ᾠδὴ Γ΄. Σὺ εἶ τὸ στερέωμα.

Ἰσχύϊ τοῦ Πνεύματος τοῦ Παναγίου ἡμᾶς ἐλέησον, Παρασκευή, καὶ νόσων παντοίων, σαῖς λιταῖς ἐλευθέρωσον.

Σῶσον ταῖς πρεσβείαις σου, Παρασκευὴ πανακήρατε, πάντας ἡμᾶς τοὺς σὲ ἀνυμνοῦντας, καὶ εὐφήμως γεραίροντας.

Γενοῦ μοι, Πολύαθλε, τῷ τεθλιμμένῳ προστάτις σύντονος, καὶ ἐκ παθῶν καὶ κινδύνων ῥῦσαι, ταῖς εὐχαῖς σου καὶ θλίψεων. Θεοτοκίον.

Ἐξελοῦ, Πανάχραντε, νόσων δεινῶν με καὶ θλίψεων, τῶν ἀφειδῶς καταπιεζόντων τὸν σὸν δοῦλον ἑκάστοτε.

### ᾠδὴ Δ΄. Εἰσακήκοα Κύριε.

Ῥώμην δίδου μοι, Πάνσεμνε, κατά τε δαιμόνων καὶ ὀλεθρίων παθῶν, καὶ τὸν σάλον τῶν πταισμάτων μου, ἱεραῖς λιταῖς σου καταπράϋνον.

Ἀγαπήσασα Κύριον, καὶ στεφάνους δόξης κομίσασα, ὑπὲρ πάντων καθικέτευε, τῶν πιστῶς τιμώντων σε, Πανεύφημε.

Ἱκεσίας μου πρόσδεξαι, ὦ Παρασκευὴ Παρθένε πολύαθλε, καὶ παθῶν μου τὴν σκοτόμαιναν, σοῦ θερμαῖς πρεσβείαις ἀπο-δίωξον. Θεοτοκίον.

Ῥῦσαι, Κόρη Πανάμωμε, ἡ Θεὸν ἀσπόρως κυήσασα, τὸν σὸν δοῦλον κινδυνεύοντα, καταποντισθῆναί με τοῖς πταίσμασιν.

### ᾠδὴ Ε΄. Φώτισον ἡμᾶς.

Ὥσπερ Σύ, Σεμνή, εἰς Νυμφῶνα τὸν Οὐράνιον, αὐγάζῃ ταῖς ἐνθέοις μαρμαρυγαῖς, οὕτω σοὺς δούλους δόξης θείας καταξίωσον.

Σοῦ ἐν τῷ ναῷ προσελθόντας τοὺς οἰκέτας σου, ὦ Παρασκευή, ἐλευθέρωσον, ἐκ νοσημάτων ταῖς εὐχαῖς σου καὶ κακώσεων.

www.tezaurliturgic.ro



Ερωτι Θεοῦ τὴν ψυχήν μου πλῆξον δέομαι, Παρασκευή, θείαις πρεσβείαις σου, καὶ τῶν παθῶν μου τὴν ἀχλὺν νῦν ἐξαφάνησον.

Θεοτοκίον·

Πάναγνε, ἡμεῖς κεκτημένοι σε βοήθειαν, σκέπην καὶ βεβαίαν ἀντίληψιν, παντὸς κινδύνου διὰ σοῦ ἀεὶ ῥυσθείημεν.

## ᾨδὴ ΣΤ΄. Ἱλάσθητί μοι.

Αἱμάτων σου τοῖς κρουνοῖς, Παρασκευή, ὡς κατέσβεσας τῆς ἀπιστίας τὸ πῦρ, οὕτω νῦν κατάσβεσον τὴν φλόγα τῶν νόσων μου, ταῖς σαῖς ἱκεσίαις, καὶ κινδύνων με ἐξάρπασον.

Ρεόντων τὸ χαμερπές, Παρασκευὴ Πανακήρατε, τὸ ἄστατον καὶ φθαρτὸν παριδεῖν ἀξίωσον, σὸν δοῦλον πρεσβείαις σου, καὶ ἀξιωθῆναι θείας δόξης καὶ λαμπρότητος.

Απάσας τὰς κεφαλὰς τῶν ἀνομούντων συντρίβεσθαι, ὑπὸ τοὺς πόδας ἡμῶν, Θεὸν καθικέτευε, Μάρτυς, τῶν τιμώντων σου πόθῳ τὴν σὴν Κάραν, ἣν ἀπέτεμεν ὁ ἄνομος. Θεοτοκίον.

Σὺ οὖσα τὸ καθαρὸν καὶ ἁγιώτατον Τέμενος, Μαρία τοῦ Παντουργοῦ, παράσχου μοι δάκρυα, ψυχὴν καθαρίζοντα, καὶ ἐπάκουσόν μου τῆς δεήσεως σοῦ δέομαι.

Επίβλεψον μετ' εὐμενείας, Παρασκευὴ Ἀθληφόρε, ἐπὶ τὰ ἐμὰ δεινὰ πάθη τοῦ σώματος, καὶ ἴασιν δώρησαί μοι εὐχαῖς σου.

Καὶ Θεοτοκίον Ἐπίβλεψον...

Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β΄.

Προστάτρια Πιστῶν, Παρασκευὴ Ἀθληφόρε, πέλουσα, τοῖς τῇ σεπτῇ Εἰκόνι σου θερμῶς προσπελάζουσιν, ἱκέτευε Χριστὸν τὸν Νυμφίον σου, δωρηθῆναι λύσιν τῶν δεινῶν νόσων καὶ θλίψεων, καὶ ἁμαρτιῶν πασῶν τὴν συγχώρησιν.

Καὶ εὐθὺς τὸ Προκείμενον. ἦχος, δ΄.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.



## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Μάρκον.

Τῷ καιρῷ ἐκείνῳ· ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολύς, καὶ συνέθλιβον αὐτόν. . . κτλ. (Ζήτει Β΄ τῆς ΙΕ΄ Ἑβδομ. Ματθαίου)-

Δόξα. Ταῖς τῆς Ἀθληφόρου. . . Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. .

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν Προσόμοιον.

Ἦχος πλ. β΄. Μεταβολὴ τῶν θλιβομένων.

Μεταβολὴ παντὸς κινδύνου, ἀπαλλαγὴ νόσου παντοίας ὑπάρχουσα, Παρασκευὴ Παρθένε, ῥῦσαι πάντας τῶν δεινῶν, τῆς τῶν ἐναντίων κακουχίας, καὶ τῆς τῶν δαιμόνων ἐπηρείας, ταῖς θείαις σου πρὸς Θεὸν δεήσεσι.

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου, κτλ.

## ᾨδὴ Ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Κάραν πάνσεπτον πάντες, τῆς Παρθενομάρτυρος δεῦτε Παρασκευῆς, Πιστοὶ ἐν ἐτησίοις τιμήσωμεν τοῖς ὕμνοις, ὡς πηγὴν ἀνεξάντλητον, τῶν ἰαμάτων ἀεὶ καὶ θείων δωρημάτων.

Εορτὴν πανδαισίαν οἱ Πιστοὶ ὀρθοδόξως ἐπιτελέσωμεν, φαιδρῶς Παρασκευῆς νῦν, τὴν Κάραν προσκυνοῦντες καὶ βοῶντες ἐκ πίστεως· πρόφθασον ῥῦσαι ἡμᾶς, λιταῖς σου πάσης νόσου.

Υπὲρ πᾶσαν οὐσίαν καὶ ὑπὲρ χρυσίον ἡ Κάρα σου διαλάμπουσα, παρέχει σωτηρίαν, τοῖς πίστει, Ἀθληφόρε, πρὸς αὐτὴν καταφεύγουσι, καὶ ἰατρεύει ψυχῶν θανατηφόρους νόσους.

Θεοτοκίον.

Η Θεὸν σαρκοφόρον, Παναγία Παρθένε ἀποκυήσασα, ἐκ πάντων ἀδοκήτων κινδύνων τὸν λαόν σου καὶ ἐκ νόσων περίσωζε, καὶ ἁμαρτίας δεσμὸν τάχει λιταῖς σου λῦσον.

## ᾨδὴ Η΄. Τὸν Βασιλέα.

Στόματι πάντες καὶ καρδίᾳ ὑμνοῦμεν τὴν πανένδοξον Μάρτυρα Κυρίου, ὅτι ἀῤῥωστίας ἐτύχομεν τὴν λύσιν.

Εν Οὐρανίοις, Παρασκευὴ Ἀθληφόρε, τοῖς σκηνώμασι χο-

www.tezaurliturgic.ro



ρεύουσα, τῶν πίστει σὲ ὑμνολογούντων μνημόνευε, Παμμάκαρ.

Ρωσθεῖσα, Μάρτυς, τῇ ἰσχύϊ Κυρίου, τῶν Τυράννων κατήσχυνας τὰ θράση· θραῦσον καὶ νῦν πάντων δεσμοὺς τυραννουμένων.

Θεοτοκίον.

Αχραντε μόνη Εὐλογημένη Μαρία, τὰ δυσίατα ἰάτρευσον πάθη, τοῦ οἰκτροῦ σου δούλου, ἵνα σε μακαρίζω.

ᾠδὴ Θ'. Κυρίως Θεοτόκον. . .

Φλέξον παρανόμων, Παρασκευὴ Μάρτυς, πυρὶ τῷ θείῳ τεχνάσματα ἄθεα· Πιστοὺς δὲ πάντας θείῳ αὐγάσματι λάμπρυνον.

Εμπλεως ἐνθέου λάμψεως γενέσθαι, τὸν σὸν οἰκέτην νυνὶ καταξίωσον, ταῖς πρὸς τῶν ὅλων Δεσπότην λιταῖς σου, Πάνσεμνε.

Ινα σε δοξάζω, Παρασκευὴ πόθῳ, τὰς ἀνιάτους μου νόσους θεράπευσον, καὶ ταῖς εὐχαῖς σου τελείαν ῥῶσιν παράσχου μοι.

Θεοτοκίον.

Μόνη Θεοτόκε, ὡς Ἁγνὴ καὶ Μήτηρ, τῆς ἀκαθάρτου ἰλύος με κάθαρον τῶν ἀκαθάρτων μωλώπων, καὶ σῶσον, Δέσποινα.

Το, Ἄξιον ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Αἴτησαι εἰρήνην παρὰ Θεοῦ, ψυχῶν σωτηρίαν, καὶ κινδύνων ἀπαλλαγὴν, θεία Ἀθληφόρε Παρασκευὴ, εὐχαῖς σου, τοῖς πίστει εὐφημοῦσί σε καὶ γεραίρουσι.

Πορφυρᾶν ἐξ αἵματος τὴν στολὴν, σὺ περικειμένη, καὶ τὸ στέμμα ἐν κορυφῇ, ἔχουσα ὦ Μάρτυς, καὶ τὴν τῆς Παρθείας κατέχουσα λαμπάδα ἡμῶν μνημόνευε.

καὶ Θεοτοκίον Πᾶσαι τῶν Ἀγγέλων.

Τρισάγιον, καὶ τὸ Τροπάριον Ηχος Α.

Τὴν σπουδήν σου τῇ κλήσει κατάλληλον, ἐργασαμένη φερώνυμε, τὴν ὁμώνυμόν σου Πίστιν εἰς κατοικίαν κεκλήρωσαι, Παρασκευὴ Ἀθληφόρε· ὅθεν προχέεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.



Ὁ Ἱερευς ὡς ἔθος μνημονεύει.

Εἰς τὴν Ἀπόλυσιν ψάλλομεν τὸ παρὸν Προσόμοιον, Ηχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Θῦμα τῷ Δεσπότῃ καὶ Θεῷ ἤχθης, Καλλιπάρθενε, θεῖον καὶ παναμώμητον· πάσας ὅθεν ηὔφρανας τὰς Οὐρανίους Ἀρχὰς, καὶ Μακάρων, Ἀοίδιμε, ψυχάς· διὸ πάντες πίστει σου δεόμεθα καὶ πόθῳ ζέοντι, ῥῦσαι ταῖς λιταῖς σου ἐκ νόσων καὶ παντοδαπῶν ἐναντίων, ἡμᾶς τοὺς τιμῶντάς σε, Πανεύφημε.

ΤΕΛΟΣ.

---

# ΕΤΕΡΟΣ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΚΑΙ ΕΝΔΟΞΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΚΑΙ ΙΑΜΑΤΙΚΟΝ ΠΑΝΤΕΛΕΗΜΟΝΑ.

## ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος· καὶ τὸ Τροπάριον Ἦχος Δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΩΣ στρατιώτην τοῦ Χριστοῦ γενναιότατον, καὶ Ἀναργύρων Ἰατρὸν τὸν σοφώτατον, ἀνευφημοῦμεν ἅπαντες ἐκ βάθους ψυχῆς, πόθῳ ἑορτάζοντες τὴν ἁγίαν σου Μνήμην, Παντελεῆμον ἔνδοξε, καὶ πιστῶς σοι βοῶμεν· τὰς νόσους πάντων ἴασαι ἡμῶν, ταῖς πρὸς Χριστὸν τὸν Θεὸν θερμαῖς σου δεήσεσι.

Δόξα· Καὶ νῦν Θεοτοκίον. Οὐ σιωπήσομεν. . . .

Ὁ Ν'. Καὶ ὁ Κανὼν, ἔχων Ἀκροστιχίδα

« Παντελεήμονα τὸν Θεῖον σέβω. »

Καὶ ἐν τοῖς Θεοτοκίοις, « Σεραφείμ. »

ᾠδὴ Α'. ἦχος πλ. Δ'. Ὑγρὰν διοδεύσας.

Πρὸ τοῦ Μαρτυρίου τοῦ σοῦ, Σοφὲ, ὥσπερ τὸν θανόντα ἀνε-

ΒΙΒΛΙΟΘΗΚΗ ... ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



ζώωσας ἐν Χριστῷ, οὕτω νεκρωθέντας δήγματι ἁμαρτίας, ἡμᾶς ταῖς σαῖς πρεσβείαις, πάντας ἀνάστησον.

Ἀφθόνως τὴν χάριν παρὰ Θεοῦ λαβὼν ἰαμάτων, τὰς ἰάσεις πάσας, Σοφὲ, παρέχεις ἀφθόνους τοῖς ἐν πίστει, Παντελεῆμον προσιοῦσι τῇ Εἰκόνι σου.

Νεκρωθεὶς τῷ Κόσμῳ, καὶ τὸν Χριστὸν, ὦ Παντελεῆμον, ἐνδυσάμενος ἐν χαρᾷ, γέγονας δοχεῖον τοῦ Πνεύματος, θεόφρον, τοῖς πᾶσιν ἀναργύρως βραβεύων ἴασιν. Θεοτοκίον.

Σταγόνα κατανύξεως τῷ οἰκτρῷ, ὄμβρισόν μοι, Κόρη, ἀναστέλλουσα βλαβερὸν, καύσωνα καρδίας μου Παρθένε, ἐξαίρουσα πάθη τὰ πολεμοῦντά με.

### ᾨδὴ Γ'. Σὺ εἶ τὸ στερέωμα.

Τὰς νόσους θεράπευσον, Παντελεῆμον, τοῦ δούλου σου, καὶ τὴν ἐμὴν, εὐχαῖς σου, καρδίαν, τῇ δυνάμει σου εὔφρανον.

Ἔνδοξε, σὺ καύχημα τοῦ προσιόντος σοι πέφυκας, σὺ Ἰατρὸς ἐμοῦ τηκομένου ὑπὸ νόσων καὶ θλίψεων.

Λαβὼν, ὦ Ἀνάργυρε, παρὰ Χριστοῦ χάριν ἄφθονον, δοῦναι πιστοῖς ἰάσεις τῶν νόσων, τούτων σύ με διάσωσον. Θεοτοκίον.

Ἔχεις ἐν ἀγκάλαις σου τὸν Ποιητὴν πάσης Κτίσεως· τοῦτον διὸ δυσώπει, Παρθένε, ἐκ κινδύνων ῥυσθῆναί με.

### ᾨδὴ Δ'. Εἰσακήκοα Κύριε. . .

Ἐπὶ σὲ νῦν κατέφυγον, ὦ Παντελεῆμον θεῖε Ἀνάργυρε, μὴ παρίδῃς με τὸν ἄθλιον, ἀλλ' εὐχαῖς σου θείαις διαφύλαξον.

Ἠρεμίαν μοι δώρησαι, Μάρτυς, ἐν τῷ βίῳ, καὶ νόσων ἴασιν, ταῖς ἐνθέρμοις σου ἐντεύξεσι, τῷ τῇ σῇ Εἰκόνι προσπελάζοντι.

Μάρτυς ἔνδοξε, πρόφθασον, καὶ τῆς ἁμαρτίας με κυματούμενον δεινῷ σάλῳ, ταῖς πρεσβείαις σου, ὅρμον πρὸς ἀκύμαντον ὁδήγησον. Θεοτοκίον.



Ῥάβδον θείαν ὁ ἔνδοξος πάλαι Ἡσαΐας σε κατωνόμασεν, ἄνθος φέρουσαν τὸν Κύριον, Θεοτόκε Μῆτερ Ἀειπάρθενε.

### ᾨδὴ Ε'. Φώτισον ἡμᾶς. . .

Ὄμβρισόν μοι νῦν ὑετὸν τὸν τοῦ ἐλέους σου, καὶ τῆς ἁμαρτίας μου τὰ ὀμβρήματα, Παντελεῆμον, ταῖς εὐχαῖς σου καταξήρανον.

Νῦν αἱ δωρεαὶ, ὡς πηγαὶ Πιστοῖς ἰάσεων, ταῖς λιταῖς σου ἐπιχέονται, Παντελεῆμον, ἐκ Θεοῦ τοῖς προσιοῦσί σε.

Ἅπαντας ἡμᾶς πεπτωκότας εἰς τὰ χάσματα, τῆς ἁμαρτίας τὰ βαθύτατα, ταῖς πρὸς Θεόν σου πρεσβείαις, ἔγειρον, Ἅγιε. Θεοτοκίον.

Ἄχραντε ψυχῆς τῆς ἐμῆς τὰ ἀῤῥωστήματα, καὶ τοῦ σώματός μου ἴασαι, ταῖς Μητρικαῖς σου πρεσβείαις, Κόρη Πανάμωμε.

### ᾨδὴ ΣΤ. Ἱλάσθητί μοι.

Τὰ νάματά σου, Σοφὲ ὥσπερ πηγὴ Σιλωὰμ ποτὲ, ἐκβλύζουσι τοῖς Πιστοῖς παντοῖα ἰάματα, παύων τὰ νοσήματα τῶν προσπελαζόντων τῇ σῇ σκέπῃ, Παναοίδιμε.

Οἱ προσιόντες πιστῶς, Παντελεῆμον Μακάριε, ἐν τῷ σεπτῷ σου Ναῷ, τὴν ῥῶσιν λαμβάνουσι καὶ τὴν ἀπολύτρωσιν, πάντων τῶν κινδύνων καὶ δεινῶν ταῖς ἱκεσίαις σου.

Νοός μου τοῦ ἀσθενοῦς, ὡς θησαυρὸς τῶν ἰάσεων, Παντελεῆμον κλεινὲ, ἀφθόνως τὴν ἴασιν δώρησαι τοῦ κάμνοντος καὶ ὀδυνομένου, τῇ τοῦ Πνεύματος χάριτι. Θεοτοκίον.

Φιλάγαθε Μαριὰμ, ταῖς σαῖς πρεσβείαις ἀγάθυνον, τὴν ῥυπαράν μου ψυχὴν, καὶ ῥῦσαι κολάσεως καὶ πάσης κακώσεως, σὸν θερμὸν οἰκέτην, τὸν ἐκ πόθου ἀνυμνοῦντά σε.

Ἀνάργυρε Παντελεῆμον, ταῖς θείαις λιταῖς σου τὰ τῆς ψυχῆς ἡμῶν πάθη θεράπευσον, καὶ δώρησαι ἴασιν τοῖς νοσοῦσι. Θεοτοκίον.

www.tezaurliturgic.ro



Ἄχραντε Εὐλογημένη Μαρία, ταῖς ἱκεσίαις Παντελεήμονος τοῦ κλεινοῦ διαφύλαξον, ἐκ νόσων τε καὶ κινδύνων σοὺς δούλους.

Ὁ Ἱερεὺς μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β'.

Θεῖον Ἰατρὸν ἐν γῇ πλουτοῦντές σε, Ἀνάργυρε, ἐν θερμοτάτῃ πίστει καὶ εὐσεβεῖ σοῦ δεόμεθα· πάντα νοσοῦντα καὶ καταπονούμενον ταῖς λιταῖς σου διάσωσον, τὰς ῥίζας τῶν ἐπωδύνων παθῶν τῇ τοῦ Σωτῆρος ἰσχύϊ ἐκτέμνων, καὶ ἀναςέλλων τὰς χαλεπὰς τῆς ἀθυμίας ἐπικλύσεις, Παντελεῆμον Μάρτυς ἀξιάγαστε.

Καὶ εὐθὺς τὸ Προκείμενον Ἦχος δ'.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει. . . .

Πεφυτευμένος ἐν τῷ Οἴκῳ Κυρίου. . . .

## Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ· ἦλθε πρὸς τὸν Ἰησοῦν ὄχλος Μαθητῶν αὐτοῦ. . . . κτλ. (Ζήτει Ἰουλίου 8).

Δόξα. Ταῖς τοῦ Ἀναργύρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Στίχος. Ἐλέησόν με ὁ Θεὸς, καὶ τὸ Προσόμοιον.

## Ἦχος Πλ. Β'· Ὅλην ἀποθέμενοι.

Δεῦτε οἱ Ὀρθόδοξοι πνευματικῶς εὐφρανθῶμεν, δεῦτε τὸν Ἀνάργυρον πάντες καταστέψωμεν θείοις ᾄσμασι, πρὸς αὐτὸν λέγοντες· ὦ Παντελεῆμον, ἰατρὲ νοσούντων ἄριστε, λιμὴν τε εὔδιε τῶν χειμαζομένων τοῖς πταίσμασι, προφθάσας δὸς τὴν ἴασιν, πᾶσι τοῖς θερμῶς σοι προστρέχουσι, καὶ δεινῶν παντοίων ἀπάλλαξον ἡμᾶς ταῖς σαῖς εὐχαῖς, καὶ εἰρηναίαν κατάστασιν τῷ Κόσμῳ πρυτάνευσον.

Τό, Σῶσον ὁ Θεὸς τὸν λαόν σου. κτλ.

## ᾠδὴ Ζ'. Παῖδες Ἑβραίων.

Θείαις, Ἀνάργυρε, εὐχαῖς σου πρὸς τὸν Κτίστην, διάσωσον σὸν δοῦλον· συνταράσσει με γὰρ βυθὸς ἁμαρτημάτων, χειμάζει καὶ κλυδώνιον, καὶ φλογμὸς τῶν παθημάτων.

Ἔφθασαν ἅπαντες ἐν πίστει, εἰς λιμένα τοῦ θείου Ἀναργύρου, οἱ ἐν νόσοις δειναῖς ποντούμενοι βοῶντες· εὐχαῖς σου, ὦ Ἀνάργυρε, τὴν ὑγείαν ἡμῖν δίδου.



Ἵνα, Ἀνάργυρε, τιμῶ σε, καὶ δοξάζω τὰ ἔνδοξά σου ἆθλα, ἀσθενείας δεινὰς, σὸν δοῦλον τυραννούσας, ἰάτρευσον καὶ δώρησαι τὴν κατ' ἄμφω ὑγιείαν. Θεοτοκίον.

Ἔστησας ῥύμην τοῦ θανάτου, τὸν ἀθάνατον Θεὸν καὶ Βασιλέα, ὡς τεκοῦσα, Ἁγνὴ, ὃν πάντες ἀνυμνοῦμεν, εὐλογημένος λέγοντες, ὁ καρπὸς τῆς σῆς κοιλίας.

## ᾠδὴ Η'. Τὸν Βασιλέα. .

Ὅσοι ἐν πίστει εἰλικρινεῖ προσιοῦσι τῷ Ναῷ σου, Παντελεῆμον Μάρτυς, ψυχῶν καὶ σωμάτων λαμβάνουσι τὴν ῥῶσιν.

Ναὸς τοῦ θείου ἐπὶ γῆς Ἀναργύρου, ἰατρεῖον πρόκειται τοῖς πᾶσι, παύων αὐτῶν νόσους ψυχῶν τε καὶ σωμάτων.

Σαῖς πρὸς τὸν Κτίστην, Παντελεῆμον πρεσβείαις, τοῖς τυφλοῖς παρέχεις ἰατρείαν, καὶ νοσοῦσι πᾶσι τὴν ποθητὴν ὑγείαν. Θεοτοκίον.

Ἱκεσίαις ταῖς πρὸς Θεόν σου ,Παρθένε, τῶν τοῦ βίου δυσχερῶν με σὺ σῶσον, καὶ τὸν σάλον παῦσον ἀσθενειῶν παντοίων.

## ᾠδὴ Θ'. Κυρίως Θεοτόκον. .

Εὐχαῖς σου τὰς σειράς μου τῶν πταισμάτων λῦσον, καὶ τὸ χειρόγραφον Μάρτυς διάρρηξον τῆς ἁμαρτίας, τοῦ σοὶ πιστῶς προσπελάζοντος.

Βοηθείας χεῖρα προφθάσας ὄρεξόν μοι, καὶ ἀδοκήτων δεινῶν με ἀπάλλαξον, Παντελεῆμον, ταῖς θείαις ὄντως πρεσβείαις σου.

Ὢ Παντελεῆμον, στῆσόν μου τὸν σάλον τῶν λογισμῶν καὶ τὴν λύπην κατάπαυσον, τῆς ταλαιπώρου ψυχῆςμου, θεῖε Ἀνάργυρε. Θεοτοκίον.

Μαρία, μή με δείξῃς ἐπίχαρμα δαιμόνων, ἐν τῇ τῆς Κρί-

www.tezaurliturgic.ro



σεως ὥρᾳ, Πανάμωμε, ἀλλ' εὐμενῶς τὸν Σωτῆρά μου ἐξιλέωσαι

Τὸ, Ἄξιόν ἐστιν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Τοὺς μετ' εὐλαβείας τὴν ἱεράν εἰκόνα σου Μάρτυς προσκυνοῦντας, σαῖς ἱεραῖς πρὸς Θεὸν πρεσβείαις, σῶζε δεινῶν παντοίων, Παντελεῆμον θεῖε Ἰατρὲ μέγιστε.

Δόξη, Ἀθλοφόρε, Μαρτυρικῇ, παρεστὼς τῷ θρόνῳ τοῦ Παντάνακτος καὶ Θεοῦ, μέμνησο τῶν πίστει τὴνΜνήμην σου τελούντων, Παντελεῆμον θεῖε, Ἰατρὲ ἄμισθε.

Ὡς ἀςὴρ ἀνέτειλας νοητὸς, ἄθλοις Μαρτυρίου ἀπαςράπτων καὶ τῶν παθῶν, τὴν ἀχλὺν διώκων, Παντελεῆμον Μάρτυς, τῶν ἐπικαλουμένων σε μετὰ πίστεως.

Τοὺς ἀνευφημοῦντάς σε εὐλαβῶς, τοὺς λαμπροὺς ἀγῶνας, καὶ τοὺς ἄθλους, Μάρτυς Χριστοῦ, τήν τε θείαν Μνήμην τελοῦντας ἐτησίως, Παντελεῆμον Μάκαρ, σῶζε πρεσβείαις σου.

Καὶ τὸ, Πᾶσαι τῶν Ἀγγέλων.

Τρισάγιον. Καὶ τὸ Τροπάριον. Ἦχος Πλ Δ'.

Ἀθλοφόρε ἅγιε καὶ ἰαματικὲ Παντελεῆμον, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Ὁ Ἱερεὺς ποιεῖ ἐκτενῆ, καὶ ἀπόλυσιν, καθ' ἣν ψάλλομεν τὸ παρὸν Προσόμοιον. Ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν...

Χάριν σὺ παρέχεις τοῖς Πιστοῖς, ἀναργύρως Μάρτυς Παμμάκαρ, Παντελεῆμον Σοφὲ, καὶ τῇ ἱκεσίᾳ σου διώκεις πνεύματα, καὶ τυφλοῖς τὴν ἀνάβλεψιν, ἔνδοξε, βραβεύεις, ὡς θεράπων γνήσιος τοῦ Παντεπόπτου Χριστοῦ· ὅθεν Ἰατρὲ Ὀρθοδόξων, πάντας τοὺς πιστῶς σε ὑμνοῦντας, ῥῦσαι ἐκ παντοίας περιστάσεως.

ΤΕΛΟΣ



# ΕΤΕΡΟΣ
# ΕΙΣ ΤΟΥΣ ΔΩΔΕΚΑ ΑΓΙΟΥΣ ΑΝΑΡΓΥΡΟΥΣ

Κοσμᾶν καὶ Δαμιανὸν, Κῦρον καὶ Ἰωάννην, Παντελεήμονα καὶ Ἑρμόλαον, Σαμψὼν καὶ Διομήδην, Φώτιον καὶ Ἀνίκητον, Θαλλέλαιον καὶ Τρύφωνα.

ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Μετὰ τὸν, Εὐλογητὸν, τὸ, Κύριε εἰσάκουσον. Εἶτα τὸ, Θεὸς Κύριος, καὶ τὸ Τροπάριον Ἦχος Δ'.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ...

ΤΑΣ χαμαιζήλους ἡδονὰς συμπατοῦντες, καὶ ἀναργύρως τοὺς νοσοῦντας ἰώμενοι, Ἀνάργυροι πανεύφημοι καὶ θεῖοι Ἰατροὶ, πρὸς Χριστοῦ ἐστέφθητε Οὐρανίοις στεφάνοις, ὅθεν ἱκετεύομεν σκοτασμοῦ ἁμαρτίας καὶ νοσημάτων ῥύσασθε ἡμᾶς, τὸν ἐπὶ πάντων Θεὸν ἱκετεύοντες.

Δόξα. Καί νῦν Θεοτοκίον.

Τῇ Θεοτόκῳ μετὰ δέους ἐμφρόνως πάντες προσδράμωμεν κραυγάζοντες πόθῳ, ὑπεραγία Δέσποινα Πανύμνητε, ῥῦσαι τῷ ἐλέει σου, ἀδοκήτων κινδύνων, πάσης περιστάσεως καὶ κολάσεως τάχος, καὶ πάσης νόσων λύμης, Ἀγαθὴ εὐλογημένη Μαρία Θεόνυμφε.

Ὁ Ν'. Καὶ ὁ Κανὼν, ἔχων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις ΣΕΡΑΦΕΙΜ.

ᾨδὴ Α'. ἦχος πλ. Δ'. Ὑγρὰν διοδεύσας.

Πολλοῖς συνεχόμενος ἀλγεινοῖς, πρὸς ὑμᾶς ἐνθέρμως καταφεύγων ἐκδυσωπῶ, ταῖς πρὸς τὸν Θεὸν ὑμῶν πρεσβείαις, τούτων με τάχος, Ἀνάργυροι ῥύσασθε.

www.tezaurliturgic.ro



Παθῶν καταφλέγει μου φλὸξ δεινὴ, Ἀνάργυροι θεῖοι, τὴν καρδίαν καὶ τὴν ψυχήν· ταχέως οὖν ταύτην ἱκετεύω, ταῖς ὑμετέραις δεήσεσι σβέσατε.

Νοσῶν πλείστοις πάθεσι χαλεποῖς, πολλῶν ἐκ πταισμάτων, τῷ φαρμάκῳ τῶν δραστικῶν, ὑμῶν πρεσβειῶν πρὸς τὸν Δεσπότην, ἐκλιπαρῶ ἰαθῆναι, Ἀνάργυροι. Θεοτοκίον.

Συνέτισον τὸν δοῦλόν σου, Μαριὰμ, ἄνοιξόν μοι πύλας μετανοίας, καὶ ἐκ πυλῶν τῆς θανατηφόρου ἁμαρτίας, τῇ μεσιτείᾳ σου ῥῦσαί με, Δέσποινα.

## ᾠδὴ Γ'. Οὐρανίας ἁψῖδος...

Προστασίαις ταῖς θείαις ὑμῶν, Ἀνάργυροι ῥύσασθε, ἐμὲ τὸν ἐν ζάλῃ καὶ τρικυμίαις τοῦ βίου ἐγκυματούμενον· ὑμᾶς γὰρ εὕρηκα μετὰ Θεὸν κυβερνήτας, πρὸς λιμένα ἄσυλον καὶ ἀχείμαστον.

Ἱκετεύω ἐν πόθῳ τὴν τῆς ψυχῆς κάκωσιν, καὶ τὰς σαρκικὰς ἀσθενείας μου ἰατρεύσατε· ὑμεῖς γὰρ Πάνσεπτοι, τὸν τῶν ψυχῶν καὶ σωμάνων, ἰατρὸν τὸν Πάνσοφον ἐμιμήσασθε.

Χαλεπαῖς ἀῤῥωστίαις καὶ τηκτικοῖς πάθεσιν, ὅλῳ καθεκάστην, Ἀνάργυροι, τηκομένῳ μοι, ταῖς πρὸς τὸν Κύριον ὑμῶν ἐνθέρμοις πρεσβείαις, φάρμακα δωρήσασθε ἀλεξίπονα.

Θεοτοκίον.

Ἐπὶ κλίνης ὀδύνης ὀδυνηρῶς κείμενος, σὲ ἐπικαλοῦμαι Παρθένε, κλῖνον τὸ οὖς σου ἐμοί. σπεῦσον τοῦ σῶσαί με καὶ ἐξελέσθαι ἐν τάχει, πυρὸς ὑποσμύχοντος νῦν τὴν καρδίαν μου.

## ᾠδὴ Δ'. Εἰσακήκοα Κύριε.

Τῶν παθῶν τὸν καύσωνα, καὶ τὸν τῆς ἀθλίας ψυχῆς μου τάραχον, ταῖς εὐχαῖς ἡμῶν, Ἀνάργυροι, σβέσατε ἐν τάχει καὶ κατευνάσατε.

Ἀπολάβοντες πάντοτε, τῶν ἐκ τῆς Εἰκόνος ὑμῶν, Ἀνάργυροι, χαρισμάτων, ἀναμέλπομεν, τὸν ὑμᾶς δοξάσαντα ὑπεράγαθον.



Ἐπὶ κλίνης με κείμενον, καὶ νόσον νοσοῦντα ψυχῆς καὶ σώματος, ὦ Ἀνάργυροι ἐγείρατε, ταῖς πρὸς τὸν Σωτῆρα ὑμῶν δεήσεσι. Θεοτοκίον.

Ρῶσιν δίδου μοι, Πάναγνε ἐπικαμπτομένη οἰκτραῖς δεήσεσι, πᾶσαν νόσον καὶ ἐπάχθειαν, ἐπιοῦσαν ἄφνω ἀναστέλλουσα.

## ᾠδὴ Ε'. Φώτισον ἡμᾶς.

Ἔμπλησον ταχὺ τὴν ψυχήν μου θείας χάριτος, τῶν Ἀναργύρων ἡ σεπτὴ Δωδεκὰς, τοῦ προσιόντος τῇ σκέπῃ καὶ τῇ εἰκόνι σου.

Λύτρωσαί με νῦν σαῖς πρὸς Κύριον ἐντεύξεσι, δεινῆς ἐκ νόσου καὶ πάσης θλίψεως, ὦ Δωδεκὰς Ἰατρῶν ἀξιάγαστε.

Ἴασαι ψυχῆς τὰ πολλὰ πάθη καὶ σώματος, ὦ Δωδεκὰς Ἰατρῶν Παμμακάριστε, τῶν μετὰ πόθου προσκυνούντων τὴν Εἰκόνα σου. Θεοτοκίον.

Ἅπαντα ἐχθρὸν δυσμενῶς ἐπιτιθέμενον, ἡμῖν τοῖς δούλοις σου, Πανάμωμε, θείῳ σου κράτει, συμπατοῦσα ἐξαφάνισον.

## ᾠδὴ ΣΤ'. Τὴν δέησιν ἐκχεῶ..

Θανάτου καὶ συμφορῶν καὶ θλίψεων. ἀπαλλάξατε δεινῶν τε παντοίων, ὦ Ἰατροὶ ἄμισθοι τῶν νοσούντων, τὸν εὐλαβῶς πρὸς ὑμᾶς καταφεύγοντα, καὶ πάσης νόσου χαλεπῆς, ταῖς ὑμῶν ἱκεσίαις, Πανάγιοι.

Ὡς τεῖχος ἐν τοῖς κινδύνοις ἄῤῥηκτον, τὴν ὑμῶν ἐγκεκτημένοι εἰκόνα, ἐκ τῶν δεινῶν ἐκλυτρούμεθα πάντων, ἐπιγραφόμενοι λυτρωτὰς ἐσαεὶ, σωτῆρας τε μετὰ Θεὸν, εὐκλεέστατοι θεῖοι Ἀνάργυροι.

Ἐν κλίνῃ τῶν ἀνιάτων μου παθῶν κατακείμενος, Ἀνάργυροι θεῖοι, ἐκλιπαρῶ τῆς θερμῆς ὑμῶν σκέπης, καὶ ἀντιλήψεως μή με στερήσητε, πρεσβεύοντες διηνεκῶς, ὅπως εὕρω ὑγείας ἀντίληψιν. Θεοτοκίον.

www.tezaurliturgic.ro



Φιλεύσπλαγχνε τοῦ Θεοῦ λοχεύτρια, ὦ Παρθένε Θεοτόκε Μαρία, τῇ πρὸς Θεὸν ἐκτενεῖ σου πρεσβείᾳ, τῶν δυσχερῶν με ἀπάλλαξον κράζοντα· δοξάζω σε μόνη Ἁγνή, Παναγία Θεόνυμφε Δέσποινα.

Ἐπίβλεψον, ὦ Δωδεκὰς Ἀναργύρων ἁγία, ἐπὶ τὴν ἐμὴν ψυχῆς τε καὶ σώματος κάκωσιν καὶ ἴασιν δώρησαί μοι λιταῖς σου.

Καὶ Θεοτοκίον Ἄχραντε. . .

Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύει. Εἶτα τὸ Κοντάκιον Ἦχος Β'.

Προστάται θερμοὶ καὶ φύλακες ἄγρυπνοι, τῶν πίστει ὑμᾶς ἀνυμνούντων ὑπάρχοντες, ἐκ ψυχῆς βοῶμεν ὑμῖν, Ἀκέστορες πάνσεπτοι σπεύσατε, καὶ ἐκ κινδύνων λυτρώσασθε ἡμᾶς, ὡς παῤῥησίαν πρὸς Κύριον ἔχοντες.

Καὶ εὐθὺς τὸ Προκείμενον. ἦχος, δ'.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Στίχος. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ· προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς Δώδεκα Μαθητὰς αὐτοῦ. . . . κτλ. (Ζήτει Νοεμβρίου 1).

Δόξα Ταῖς τῶν Ἀναργύρων πρεσβείαις, Ἐλεῆμον, ἀπάλλαξον παθῶν με καὶ δώρησαι ὑγείαν.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις εὐπροσδέκτοις, ἐλέησον τὸν Κόσμον, Χριστὲ ὡς εὐεργέτης.

Στίχος. Ἐλέησόν με ὁ Θεός· καὶ τὸ Τροπάριον. Ἦχος Πλ. β'.

Μεταβολὴ θλίψεως πάσης, ἀπαλλαγὴ παντοίας νόσου ὑπάρχουσα, Δωδεκὰς ἡ ἁγία Ἀναργύρων τῶν πανευκλεῶν, σῶζε πάντας ἐκ τῆς ὀλεθρίας τοῦ ἐχθροῦ ὁρμῆς καὶ ἐπηρείας, θείαις σου πρὸς Κύριον ἐντεύξεσι.

Τό, Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κτλ.

## ᾨδὴ Ζ'. Παῖδες Ἑβραίων. . .

Τὴν ὀξεῖάν μου νόσον, εἰς ὑγείαν, Ἅγιοι, μεταποιήσατε νῦν, ψυχὴν ὁμοῦ καὶ σῶμα, ἰώμενοι τελείως, τοῦ βοῶντος πρὸς Κύριον· ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.



Θελητὴν τοῦ ἐλέους, τὸν Χριστὸν κηρύξαντες, θεῖοι Ἀνάργυροι, αὐτὸν ἐκδυσωπεῖτε, λυτρώσασθαι κινδύνων, τοὺς ἐν πίστει κραυγάζοντας· ὁ ἐν Ἁγίοις θαυμαστὸς Θεὸς εὐλογητὸς εἶ.

Σωμάτων ἰατῆρας καὶ ψυχῶν σωτῆρας ὑμᾶς ἐπιστάμενοι, δεόμεθα ἰᾶσθαι καὶ σώζειν τοὺς βοῶντας πρὸς τὸν πάντων Σωτῆρα Χριστόν· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ἐκ χειμῶνος τὸ ἔαρ, καὶ ἐκ ζάλης γαλήνη, Ἁγνὴ προέρχεται· ἐκ ζόφου δὲ πταισμάτων, τὸ φῶς τῆς ἀπαθείας μετανοίᾳ εἰσέρχεται· οἱ ἐμπαθεῖς τοιγαροῦν θαῤῥῶμεν μεταγνῶντες.

## ᾨδὴ Η'. Τὸν Βασιλέα. . .

Τοὺς βοηθείας τῆς παρ' ὑμῶν δεομένους, μὴ παρίδητε Ἀνάργυροι θεῖοι, ἀλλ' ἐκ νόσου πάσης λυτρώσασθε καὶ βλάβης.

Τῶν πειρασμῶν ὑμεῖς, προσβολὰς τὰς ποικίλας, ἐκδιώκετε, Ἀνάργυροι πάσας, ταῖς πρὸς τὸν Δεσπότην θερμαῖς ὑμῶν πρεσβείαις.

Τῶν νοσημάτων σύ, Ἰατρεία ἑτοίμη, ἡ τῶν θείων ἐδείχθης Ἀναργύρων. Δωδεκὰς σοφή τε καὶ ὄντως θαυμασία.

Θεοτοκίον.

Ἵνα τιμῶν ἀνυμνῶ μετὰ πόθου, τὸ παμπόθητον, Μαρία, ὄνομά σου, νόσων καὶ κινδύνων ἐκλύτρωσαί με τάχος.

## ᾨδὴ Θ'. Κυρίως Θεοτόκον.

Ῥοήν μου τῶν δακρύων, δέξασθε ἀσμένως, καὶ ταῖς λιταῖς ὑμῶν πάντα τὸν βόρβορον, τῶν νοσημάτων μου πλύνατε, ὦ Ἀνάργυροι.

Χαρᾶς τῆς αἰωνίου, πάντες σὺν Ἀγγέλοις ἐπαπολαύοντες, θεῖοι Ἀνάργυροι, χαρᾶς ἀλήκτου πληροῦτε καὶ τὰς καρδίας ἡμῶν.

www.tezaurliturgic.ro



Λιμὴν καὶ ἰατρεῖον πέλει τῶν νοσούντων, ἡ τῶν σοφῶν Ἰατρῶν σεβασμία Εἰκὼν, ᾗ προσιόντες ἐν πίστει νόσων λυτρούμεθα.

Θεοτοκίον.

Μαρία Θεοτόκε, τῶν Πιστῶν χορείας, ἐξ ὁρατῶν ῥυομένη καὶ ἀοράτων ἐχθρῶν, σῶζε ἐκ πάσης φθορᾶς κινδύνων καὶ θλίψεων.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Καὶ τὰ παρόντα Μεγαλυνάρια.

Πάντων τῶν νοσούντων τοὺς Ἰατροὺς, πηγὰς ἰαμάτων, Ἀναργύρους τοὺς εὐκλεεῖς, δεῦτε συνδραμόντες οἱ φιλέορτοι τούτους, χρεωστικῶς ἐν ὕμνοις δοξολογήσωμεν.

Ἀνάργυροι θεῖοι, θαυματουργοὶ Ἰατροὶ νοσούντων, ἰατρεύσατε τοὺς θερμῶς, ἐπικαλουμένους ὑμᾶς, παθῶν ποικίλων, ταῖς ὑμῶν πρεσβείαις πρὸς τὸν φιλάνθρωπον.

Μὴ παύσητε, Ἀνάργυροι Ἰατροὶ, ψυχῶν καὶ σωμάτων, ἱκετεύειν ὑπὲρ ὑμῶν, τὴν σεπτὴν Τριάδα, ῥυσθῆναι ἐκ κινδύνων, καὶ πάσης ἀσθενείας ἡμᾶς καὶ θλίψεως.

Ἰάσεων ἅπαντες τὰς πηγὰς, ὀχετοὺς ἀφθόνους δωρημάτων τῶν τοῦ Θεοῦ, φωτὸς τοῦ ἀΰλου τὰ πάμφωτα δοχεῖα, τοὺς θείους Ἀναργύρους ἀνευφημήσωμεν.

Καὶ Θεοτοκίον. Ἀπὸ τῶν πολλῶν μου ἁμαρτιῶν.

Τρισάγιον, καὶ τὸ Τροπάριον Ἦχος Πλ. Δ.

Ἅγιοι Ἀνάργυροι καὶ θαυματουργοὶ, ἐπισκέψασθε τὰς ἀσθενείας ἡμῶν· δωρεὰν ἐλάβετε, δωρεὰν δότε ἡμῖν.

Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύει.

Εἰς τὴν Ἀπόλυσιν ψάλλομεν τὸ παρὸν Προσόμοιον, Ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε ὀρθοδόξων ἡ πληθὺς, δεῦτε τῶν Πιστῶν αἱ χορεῖαι κατασπασώμεθα εἰκόνα τὴν πάνσεπτον τῶν Ἀναργύρων Χριστοῦ, Ἰατρῶν τῶν παθῶν ἡμῶν πρὸς αὐτοὺς βοῶντες· ῥύσασθε Ἀνάργυροι, ἐκ τῶν κινδύνων ἡμᾶς, νόσων καὶ παθῶν ἀνιάτων, ταῖς εὐχαῖς ὑμῶν πρὸς τὸν Κτίστην, τοὺς ὑμᾶς τιμῶντας, Πανσεβάσμιοι.

ΤΕΛΟΣ. ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ.

# ΜΕΓΑΛΥΝΑΡΙΑ

## ΕΙΣ ΔΙΑΦΟΡΟΥΣ ΕΟΡΤΑΣ

### ΥΠΟ ΤΟΥ ΑΡΓΥΡΟΥΠΟΛΕΩΣ ΣΕΡΑΦΕΙΜ.

### ΕΙΣ ΤΗΝ ΑΡΧΗΝ ΤΗΣ ΙΝΔΙΚΤΟΥ.

Θεὲ Θεῶν ἀΐδιε Βασιλεῦ, ἄκτιστε Θεότης, σοῦ δεόμεθα ἐκτενῶς, τὸν στέφανον τοῦ ἔτους, εὐλόγησον Οἰκτίρμον, δωρούμενος εἰρήνην ταῖς Ἐκκλησίαις σου.

Εἰς τὴν Γέννησιν τῆς Θεοτόκου.

Δεῦτε προσκυνήσωμεν ἐν χαρᾷ καὶ ἀμέτρῳ πόθῳ τὴν πανάμωμον Γέννησιν, τῆς Ἀειπαρθένου, ἐξ ἧς Χριστὸς ἐτέχθη, τοῦ σύμπαντος ὁ Ἄναξ σῶσαι τὸν ἄνθρωπον.

Ὡς Ἰωακεὶμ καὶ Ἄννα σκιρτᾷ, σὺν τοῖς Ὀρθοδόξοις, γενεθλίων σῶν Μαριὰμ, οὕτω κἀγὼ χαίρων, προσκυνῶ μετὰ πόθου, τὴν ἐξ ἐπαγγελίας σὴν θείαν Γέννησιν.

Γηθόμενοι ἄνθρωποι σήμερον, ὑμνήσωμεν πόθῳ τῆς Παρθένου τὸν Τοκετόν· τέτεκε γὰρ πάσῃ χαρὰν τῇ Οἰκουμένῃ, Προμήτορος τὴν λύπην ἐξαφανίσασα.

Μετὰ τὴν ια' Ὀκτωβρίου εἰς τὴν ἁγίαν Ἑβδόμην Σύνοδον.

Πατέρες Οὐρανόφρονες τῆς σεπτῆς, Ἑβδόμης Συνόδου, ἱκετεύσατε τὸν Θεὸν, ῥυσθῆναι ἐκ πάσης αἱρέσεως καὶ βλάβης, τοὺς τὴν ὑμῶν ὑμνοῦντας ἁγίαν Σύνοδον.

Δεῦτε εὐφρανθῶμεν πνευματικῶς, καὶ συμφώνως πάντες ἐκβοήσωμεν τῷ Χριστῷ, τὴν εἰρήνην δίδου τὴν σὴν λιταῖς Πατέρων, Συνόδου τῆς Ἑβδόμης ἡμῖν Φιλάνθρωπε.

Εἰς τὸν Ἅγιον Ἰωάννην τὸν Χρυσόστομον.

Δεῦτε τῶν πενήτων τὸν θησαυρὸν, τὸν τῆς μετανοίας μεγα-

www.tezaurliturgic.ro



λόφωνον κήρυκα, τὸ εὔλαλον στόμα τῆς Χριστοῦ Ἐκκλησίας, Χρυσόστομον τὸν θεῖον ἀνευφημήσωμεν.

Χαίροις ἡ Χρυσόφωνος ἀηδὼν, χρυσίπνοον στόμα καὶ ὁ νοῦς ὁ χρυσόμορφος, χρυσόῤῥυτον ἔχων ψυχήν τε καὶ τὸ σῶμα, δόξα Πατριαρχείας, Πάτερ Χρυσόστομε.

Εἰς τὰ Εἰσόδια τῆς Θεοτόκου.

Δεῦτε εὐφημήσωμεν εὐσεβῶς, τὴν ἄμωμον Κόρην, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν, τὴν προσαγομένην ἐν τῷ Ναῷ Κυρίου, αὐτῷ ἑτοιμασθῆναι εἰς οἰκητήριον.

Συνδράμωμεν σήμερον οἱ Πιστοὶ, ᾄσμασι τιμῶντες τὴν Θεόπαιδα Μαριὰμ, τὴν προσφερομένην ἐν Οἴκῳ τοῦ Κυρίου, ὥς περ ἡγιασμένον Θεοῦ κειμήλιον.

Εἰς τὴν Ἁγίαν καὶ πάνσοφον Αἰκατερίναν.

Τὴν πάνσεμνον νύμφην τοῦ Ἰησοῦ, Παρθένων τὸ κλέος καὶ Μαρτύρων τὴν καλλονὴν, τὴν Αἰκατερίναν, τὴν παύσασαν ῥητόρων, ἐνστάσεις τὰς ληρώδεις, πάντες δοξάσωμεν.

Βοήθει καὶ σκέπε ταῖς σαῖς λιταῖς, ὦ Αἰκατερίνα, τοὺς ἐν πίστει τὴν Ἑορτὴν, τελοῦντάς σου Μάρτυς, καὶ ῥῦσαι ἐκ κινδύνων καὶ πειρασμῶν παντοίων, Σινᾶ τὸ καύχημα.

Εἰς τὸν Πρωτόκλητον Ἀπόστολον Ἀνδρέαν.

Ἀνδρέαν τὸν Θεόπνευστον οἱ Πιστοὶ, τὸν σύγγονον Πέτρου, καὶ τοῦ Λόγου τὸν Μαθητὴν, Πρωτόκλητον φανέντα Ἀποστόλων Κυρίου. τὸ κλέος Βυζαντίου, πάντες τιμήσωμεν.

Εἰς τὸν ἅγιον καὶ Οὐρανοφάντορα Μ. Βασίλειον.

Ὡς κόσμον βασίλειον τῆς σεπτῆς Χριστοῦ Ἐκκλησίας, καὶ ὡς θεῖον καθηγητὴν, ὡς τῆς Καισαρείας θειότατον Ποιμένα, Βασίλειον τὸν Μέγαν ἀνευφημήσωμεν.

Μέμνησο, Βασίλειε ἱερὲ, τῶν ἐπιτελούντων τὴν ἁγίαν σου ἑορτὴν, Χριστὸν ἱκετεύων, ὅπως ἡμῖν παράσχῃ, αἰσίως περαιῶσαι τοῦ ἔτους τὸν στέφανον.



Εἰς τὸν ἅγιον Ἰωάννην τὸν Βαπτιστήν.

Ἁπάντων ἐδείχθης τῶν Προφητῶν, σφραγὶς Ἰωάννη, καὶ θειότατος τοῦ Χριστοῦ, Πρόδρομος καὶ κήρυξ, ὃν καὶ κατηξιώθης, βαπτίσαι Ἰορδάνου τοῖς θείοις νάμασιν.

Εἰς τὸν Θεολόγον Γρηγόριον.

Δεῦτε Θεολόγον τὸν δεύτερον, τὸν τῆς εὐσεβείας φαεινότατον κήρυκα, τῆς Τριάδος λάτριν, Γρηγόριον τὸν μέγαν, ἐν ὕμνοις ἀσιγήτοις ὑμνολογήσωμεν.

Εἰς τοὺς τρεῖς Ἱεράρχας.

Τοῦ Δαβὶδ σφενδόνην τὴν τρίπλοκον, τῶν Πατέρων κλέος, καὶ τοὺς πύργους τῆς Πίστεως, Βασίλειον τὸν Μέγαν σὺν Γρηγορίῳ πάντες, τὸν θεῖον Ἰωάννην ἀνευφημήσωμεν.

Εἰς τὴν Ὑπαπαντήν.

Σήμερον τῆς δόξης τὸν Κύριον, Συμεὼν ὁ Πρέσβυς, ἐν ἀγκάλαις ἐδέξατο, τὸν δοῦλόν σου κράζων, ἀπόλυσον Οἰκτίρμον, ὁ εὐδοκήσας σῶσαι γένος τὸ βρότειον.

Σήμερον ὡς βρέφος προσφέρεται τοῦ Πατρὸς ὁ Λόγος, ἐκ Παρθένου τῷ Ἱερῷ, καὶ τοῦτον ἀγκάλαις εἰσδέχεται ὁ Πρέσβυς, ἀπόλυσόν με κράζων, Σῶτερ τὸν δοῦλόν σου.

Εἰς τὴν τιμίαν Κάραν τοῦ Προδρόμου.

Τὴν μνήμην τελέσωμεν, ἀδελφοὶ, Κάρας τῆς ἁγίας τοῦ Προδρόμου καὶ Βαπτιστοῦ, τῆς ἀποτμηθείσης ὑπὸ Ἡρώδου πάλαι, νυνὶ δὲ προχεούσης πᾶσιν ἰάματα.

Εἰς τὸν ἅγιον Ἱερομάρτυρα Ἐπίσκοπον Σκοπέλων Ῥηγῖνον, ἑορταζόμενον Φεβρουαρίου 25.

Πνεύματος ἁγίου τὸν θυσαυρὸν, Συνόδου Πατέρων ἀντιλήπτορα τὸν θερμὸν, τὸν Ἀρχιερέα καὶ Μάρτυρα Κυρίου, τὸν ἅγιον Ῥηγῖνον ὕμνοις τιμήσωμεν.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΔΩΡΕΑ ΝΤΟΡΗΣ ΠΑΠ...

www.tezaurliturgic.ro



Εἰς τοὺς Μ'. ἁγίους Μάρτυρας.

Ἐν ᾠδαῖς ᾀσμάτων ὑμνήσωμεν, τοὺς θείους Κυρίου, Τεσσαράκοντα Μάρτυρας, τοὺς ἡγησαμένους ὡς καύσωνα τὸ ψύχος, καὶ λίμνην τὴν κρυώδη, θεῖον Παράδεισον.

Εἰς τὴν Κυριακὴν τῆς Ὀρθοδοξίας.

Δεῦτε ὀρθοδόξων τὸ σύστημα, τὰς σεπτὰς εἰκόνας τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ τῆς Θεοτόκου καὶ πάντων τῶν Ἁγίων, εὐσεβοφρόνως πάντες κατασπασώμεθα.

Εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου.

Εἰς Πόλιν ἐπιφθάσας τὴν Ναζαρὲτ, Γαβριὴλ ὁ θεῖος, κατασπάζεταί σε Ἁγνὴ, βοῶν σοι τὸ, χαῖρε εὐλογημένη Κόρη, ἐν τῇ γαστρί σου ἕξης Θεὸν σαρκούμενον.

Σήμερον ἡ Κτίσις ἀγάλλεται, ὅτι σοὶ τὸ χαῖρε, προσφωνεῖ ὁ Ἀρχάγγελος· διὸ σὺν αὐτῷ σοι βοῶμεν Παναγία, χαῖρε εὐλογημένη, βροτῶν ἀνάκλησις.

Ἑαυτὸν καθῆκεν εἰς κένωσιν, τοῦ Θεοῦ ὁ Λόγος, κατὰ βούλησιν Πατρικὴν, καὶ ᾤκησεν ἐν μήτρᾳ Μαρίας τῆς Παρθένου, ἵν' ἀναπλάσῃ ἅπαν γένος τὸ βρότειον.

Εἰς τὴν Κυριακὴν τῶν Βαΐων.

Βαΐα καὶ κλάδους βαστάζοντες, τοῦ Πατρὸς τὸν Λόγον, μεγαλύνομεν οἱ Πιστοὶ, βοῶντες ἐν ὕμνοις, ὡς οἱ ἄκακοι Παῖδες, ὡσαννὰ, εὐλογημένος εἶ ὁ ἐρχόμενος.

Εἰς τὴν Κυριακὴν τοῦ Ἀντιπάσχα.

Ἐπέστης Ἰησοῦ ἡ ζωὴ ἡμῶν, θυρῶν κεκλεισμένων, τοῖς ἁγίοις σου Μαθηταῖς, καὶ τῷ Θωμᾷ ἐβόας, δεῦρο ψηλάφησόν με, καὶ κήρυξον τῷ Κόσμῳ τὴν ἐκ τάφου μου ἔγερσιν.

Εἰς τὸν Εὐαγγελιστὴν Ἰωάννην τὸν Θεολόγον.

Τὴν τῶν Ἀποστόλων ἀκρότητα, τῆς Θεολογίας τὴν καλλίφωνον σάλπιγκα, φίλον τοῦ Σωτῆρος, υἱόν τε τῆς Παρθένου, τὸν θεῖον Ἰωάννην ἀνευφημήσωμεν.



Χαίροις Ἰωάννη Ἀπόστολε, φίλε τοῦ Δεσπότου καὶ Τριάδος τὸ ᾆσμα· χαίροις τῆς Ἐφέσου τὸ κλέος καὶ τῆς Πάτμου, καὶ πάντων Ὀρθοδόξων τὸ ἐγκαλλώπισμα.

Δεῦτε Θεολόγων τὸν ἀρχηγὸν, κήρυκα τοῦ Λόγου καὶ Παρθένου τὸν φύλακα, τὸν ἠγαπημένον Παρθένον Ἰωάννην, ἐν ὕμνοις ἀσιγήτοις δοξολογήσωμεν.

Εἰς τὴν ἔνδοξον τοῦ Σωτῆρος Ἀνάληψιν.

Ἀόρατος Κόσμος καὶ ὁρατὸς, ἅπας ἑορτάζει, καὶ οἱ Ἄγγελοι σὺν βροτοῖς, σκιρτῶντες ὑμνοῦσιν ἐν φωναῖς ἀσιγήτοις, τὴν ἄνοδόν σου Σῶτερ καὶ τὴν Ἀνάστασιν.

Εἰς τὴν Πρώτην Οἰκουμενικὴν Σύνοδον.

Ἐστήσατε Πατέρες ὡς Ἰατροὶ, ψυχῶν καὶ σωμάτων, τὴν νομὴν τῆς αἱρέσεως, τοῦ δεινοῦ Ἀρείου, πᾶσιν ἐκτεθεικότες, τῆς Πίστεως τὸν ὅρον, ὃν καὶ κατέχομεν.

Τὸ συγκροτηθὲν πρῶτον ἄθροισμα, τῶν θείων Πατέρων, εὐφημήσωμεν οἱ Πιστοὶ, τὸ ἐξωστρκίσαν Ἄρειον τὸν φρενήτην, καὶ τῷ Πατρὶ τὸν Λόγον, κηρύξαν συνάναρχον.

Εἰς τὴν Παναγίαν Τριάδα

Ὦ Θεὲ Τριὰς ὁμοούσιε, διαιρετὴ Προσώποις, ὁ Πατὴρ ὁ ἀγέννητος, Υἱὸς καὶ τὸ Πνεῦμα, ὁ εἷς Θεὸς τῶν ὅλων, οἰκτείρησον καὶ σῶσον τοὺς προσκυνοῦντάς σε.

Πάτερ, Λόγε, Πνεῦμα, Τριὰς σεπτὴ, Μονὰς Τρισαγία, μία φύσις, μία Ἀρχὴ, καὶ μία Θεότης, σὲ πάντες προσκυνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας καὶ μεγαλύνομεν.

Εἰς τοὺς Ἁγίους Πάντας

Προφήτας, Ἀποστόλους καὶ Μάρτυρας, θείους Ἱεράρχας,

www.tezaurliturgic.ro



Διδασκάλους καὶ Ἀσκητὰς, Ὁσίους καὶ Δικαίους καὶ πᾶσαν τῶν Ἁγίων ὁμήγυριν τὴν θείαν, δεῦτε τιμήσωμεν.

Ἀπόστολοι, Προφῆται καὶ Μάρτυρες, θεῖοι Ἱεράρχαι, Ἀσκηταί τε καὶ Ὅσιοι, Γυναίων ἁγίων καὶ Δικαίων οἱ δῆμοι, ὑπὲρ ἡμῶν τὸν Κτίστην καθικετεύσατε.

Εἰς τὸ Γενέσιον τοῦ Προδρόμου.

Σήμερον κοσμεῖται ἡ τοῦ Χριστοῦ, σεπτὴ Ἐκκλησία, καὶ φαιδρύνεται ἀληθῶς, τῷ σῷ θείῳ Τόκῳ, Προάγγελε Κυρίου, τιμῶσά σε ἐν πίστει καὶ ἀναμέλπουσα.

Προέρχεται σάλπιγξ ἐπὶ τῆς γῆς, σήμερον ἐκ στείρας, Ἰωάννης ὁ Βαπτιστὴς, τοῖς βροτοῖς μηνύων, τὸν Ἥλιον τῆς δόξης, ἐκ τῆς Ἁγνῆς ἀφράστως, αὐγάζειν μέλλοντα.

Εἰς τοὺς Ἀποστόλους Πέτρον καὶ Παῦλον.

Τὰς εὐήχους σάλπιγκας τοῦ Χριςοῦ, Πέτρον τε καὶ Παῦλον, εὐφημήσωμεν οἱ Πιστοὶ, τοὺς διαπρυσίως κηρύξαντας ἐν Κόσμῳ, τὴν σάρκωσιν τοῦ Λόγου καὶ τὴν Ἀνάστασιν.

Εἰς τὴν Τετάρτην Οἰκουμενικὴν Σύνοδον.

Ὕμνοις καταστέψωμεν οἱ Πιστοὶ, τῶν θείων Πατέρων τὴν Τετάρτην ὁμήγυριν, τὴν τὸν εὐτυχέα καὶ τὸν δεινὸν Σεβῆρον, ἐξώσασαν εἰς τέλος καὶ καταστρέψασαν.

Εἰς τὴν θείαν Μεταμόρφωσιν.

Τὴν τῶν Ἀποστόλων καὶ Μαθητῶν ἀκρότητα Σῶτερ, συμπαρέλαβες ἐν Θαβὼρ, καὶ ἔμπροσθεν τούτων λαμπρῶς μετεμορφώθης, ἀκτῖσι καταυγάζων αὐτοὺς δυνάμεως.

Ὡς τοὺς Ἀποστόλους θείῳ φωτὶ, κατηύγασας τότε ἐν τῷ Ὄρει Χριστὲ Θαβὼρ, οὕτως ἡμῶν πάντων τὰς ψυχὰς φωτοδότα, φώτισον καὶ σῶσον ὡς ὑπεράγαθος.

Εἰς τὴν Μετάστασιν τῆς Θεοτόκου.



Δῆμος ἐκ περάτων τῶν Μαθητῶν, σήμερον ἠθροίσθη ἐν χωρίῳ Γεθσημανῆ, κηδεῦσαι Παρθένε Ἀπειρόγαμε Νύμφη, τὸ ἱερόν σου Σῶμα καὶ πανακήρατον.

Παρθένε καὶ Μήτηρ τοῦ Ἰησοῦ, δέξαι ἱκεσίας τῶν πιστῶς τε καὶ εὐλαβῶς, τὴν θείαν σου ὄντως Μετάστασιν τιμώντων, καὶ ῥῦσαι πάσης λύπης καὶ περιστάσεως.

Ἐκάλυπτον πτέρυξιν ἱεραῖς, σὺν χαρᾷ καὶ φόβῳ, τῶν Ἀγγέλων αἱ στρατιαὶ, τὸ θεῖόν σου Σκῆνος, ἐν τῇ σεπτῇ Κοιμήσει, τῇ σῇ ὦ Παναγία, ὄντως Μητρόθεε.

Εἰς τὴν Ἀποτομὴν τοῦ Προδρόμου.

Τὸν γνωρισθέντα μείζονα Προφητῶν, Πρόδρομον τὸν θεῖον, εὐφημήσωμεν οἱ Πιστοί· τὴν Κάραν γὰρ ἐτμήθη, ἵνα καὶ τοῖς ἐν Ἅδου, κηρύξῃ τοῦ Σωτῆρος, τὴν θείαν ἔλευσιν.

ΤΕΛΟΣ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΕΣΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

# ΔΙΟΡΘΩΣΕΙΣ ΠΑΡΟΡΑΜΑΤΩΝ

Οὐρανὸν ἀνέφελον, καὶ βίβλον παροραμάτων δίχα, οὐκ ἄν τις, κατὰ τὸ περιᾳδόμενον, εὕροι· διὸ σύγγνωτέ μοι εὐγνωμόνως οἱ ἐντυχάνοντες, καὶ τὰ παροράματα διορθοῦτε ἐπιεικῶς.

| Σελ. | Στίχ. | Γράφε |
|---|---|---|
| 1 | 13 | οὐ σιωπήσομεν. |
| 4 | 21 | κινδύνων |
| 4 | 3 | προσώπου |
| 6 | 12 | ἀοιδίμου |
| 7 | 14 | σιωπήσομεν |
| » | 15 | Ἀκροστιχίδα |
| 8 | 18 | ῥύσασθε |
| 9 | 10 | ὦ ταπεινὴ ψυχὴ |
| » | 28 | ἀλήθειαν |
| 10 | 20 | ᾀεί σε |
| » | 27 | ἵλεων |
| 11 | 3 | ἡ ἀντίληψις Κόρη |
| » | 12 | κινδύνων νόσων |
| 12 | 13 | ΜΑΤΡΩΝΑΝ |
| 13 | 1 | ΜΑΤΡΩΝΑΝ |
| 13 | 14 | τῆς πρεσβείας (σου |
| 15 | 1 | ΜΑΤΡΩΝΑΝ |
| » | 27 | καὶ ῥῦσαι πάσης |
| 16 | 25 | δυσχερῶν |
| 17 | 1 | ΜΑΤΡΩΝΑΝ |
| » | 14 | Ἰάτρια |
| 18 | 14 | σιωπήσομεν |
| 20 | 4 | θανάτου |
| 21 | 19 | τὰς σειρὰς |
| 22 | 13 | κήρυξ |
| 23 | 16 | ΜΥΡΟΒΛΥΤΗΝ |
| 23 | 26 | σιωπήσομεν |
| 26 | 8 | ταῖς νόσοις μου |
| 27 | 2 | λύτρωσαι |
| 30 | 3 | θαυματουργοὺς |
| 32 | 27 | κατηφείᾳ |
| 34 | 16 | ψυχικῆς |
| » | 21 | Ἴλης παντοίων (ἐπιβουλῶν |
| 35 | 22 | ἀναργύρως |
| 36 | 15 | Ἀκροστιχίδα |
| 39 | 1 | ΑΡΧΑΓΓΕ- (ΛΟΥΣ |
| 41 | 1 | ΑΡΧΙΣΤΡΑ- (ΤΗΓΟΥΣ |
| 42 | 3 | ΜΕΓΑΛΟΜΑΡ (ΤΥΡΑ |
| 45 | 26 | ἦχος δ'. |
| » | 31 | Ἀπριλίου 23. |
| 47 | 31 | Βίκτωρα |
| 49 | 6 | λύτρωσαι |
| 50 | 4 | Ἀθληφόρε. |
| » | 11 | πανένδοξε |
| 51 | 1 | ΔΑΜΑΣΚΗ- (ΝΟΝ |
| » | 18 | ψυχήν μου |
| 52 | 9 | ἀοίδιμος |
| » | 24 | τῶν πιστῶς |
| 54 | 22 | νέμουσιν |
| » | 28 | ΣΕΡΑΦΕΙΜ |
| 55 | 8 | οὐ σιωπήσομεν |
| 56 | 1 | ΠΑΡΑΚΛΗΤΙΚΟΣ |

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro



| Σελ. | Στίχ. | Γράφε |
|---|---|---|
| » | 12 | τῆς αἰωνιζούσης |
| 60 | 9 | ξύλου σε |
| 61 | 4 | Ἀκροστιχίδα |
| 64 | 25 | Μὴ διαλείπης |
| 66 | 10 | ἐγκαυχωμένου |
| 67 | 2 | ἠπείρῳ |
| » | 30 | κράζει |
| 68 | 8 | σύγχυσιν |
| 70 | 14 | ὁ Τύραννος |
| » | » | προσπλακεῖσαν |
| 71 | 30 | δή με |
| 72 | 14 | ξύλου σε |
| 73 | 2 | ἀνευφημοῦντες |
| 75 | 9 | Παρθένε, προσ- (ηλωμένους |
| 78 | 13 | κήρυξ |
| 80 | 5 | Λύτρωσαι |
| 84 | 2 | ᾠδὴ |
| 85 | 3 | ζωηφόροις |
| 86 | 21—22 | ὀφθαλμοὺς |
| 87 | 4 | τῶν παθῶν |
| 88 | 21 | σεπτῶν σου |
| » | 23 | καρδίας |
| » | 24 | τοῦ |
| 91 | 17—18 | καταμαράνας |
| » | 31 | Πάτερ |
| 92 | 7—8 | βραβεύεις |
| 92 | 20 | μέμνησο |
| 93 | 23 | Κοντάκιον |
| » | » | Ἱερεὺς |
| 96 | 7 | ἦχος |
| 98 | 15 | ἱκετεύω |
| 108 | 24 | πᾶσι |
| 111 | 5 | ὡς μικρὸν |
| 112 | 16 | Φεβρουαρίου |
| » | 31 | ἐν Ναῷ ὡς βρέ- |
| 114 | 9 | φυλάττων (φος |
| 116 | 18 | Χαραλαμπε |
| 117 | 26 | δέησιν |
| 120 | 10 | Χαράλαμπε |
| 121 | 9 | ἦχος β'. |
| 123 | 16 | προσάγοντες |
| 127 | 20 | Δόξα καὶ νῦν ὅ- (μοιον |
| 129 | 11 | τὴν τῶν θλίψεων |
| 131 | 4 | κλοπῇ βρόσεως |
| » | 28 | τῆς σαρκὸς |
| » | 31 | τοῦ Κυρίου διὰ (τοῦ σοῦ σημείου |
| 139 | 21 | μέτοχον |
| 145 | 8 | πᾶσι τοῖς |
| 146 | 9 | γνωρίζουσι τῶν (πλημμελημάτων |
| 164 | 11 | γυμνωθέντα |
| 168 | 10 | Τροπάριον |
| 174 | 3 | σωθῆναι |
| 186 | 2 | ταῖς |
| » | 15 | μεμύηται |
| 188 | 17 | δυσωποῦντα |
| « | 25 | εἰσόδους |
| 191 | 26 | Βασιλείας |
| » | 31 | εἰληφὼς |
| 210 | 27 | τῶν παθῶν μου |
| 215 | 16 | τέτοκε |

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ